ὡς διὰ ταῦτα τῆς ἔχθρας ἐνεστώ[σ]ης.

VI. κύριος δὲ γενόμενος τῶν πραγμ[άτ]ων Σόλων τόν τε δῆμον ἠλευθέρωσε καὶ ἐν τῷ παρόντι καὶ εἰς τὸ μέλλον, κωλύσας δ[ανεί]ζειν ἐπὶ τοῖς σώμασιν, ⟦καὶ νόμους ἔθηκε⟧ [16]) καὶ χρεῶν ἀ[πο]κοπὰς ἐπ[ο]ίησε καὶ τῶν ἰδίων καὶ τῶν δημοσίων, ἃς σεισάχθειαν καλοῦσιν, ὡς ἀποσει-
2 σαμένων τὸ βάρος. ἐν οἷς πειρῶνταί τι[νες] διαβάλλειν αὐτόν· συνέβη γὰρ τῷ Σόλωνι μέλλοντι ποιεῖν τὴν σεισάχ[θ]ειαν προειπεῖν τισι τῶν [γνω]ρίμων, ἔπειθ', ὡς μὲν οἱ δημοτικοὶ λέγουσι, παραστρατηγηθῆναι διὰ τῶν φίλων, ὡς δ' οἱ [βουλ]όμενοι βλασφημεῖν, καὶ αὐτὸν κοινωνεῖν. δανεισάμενοι γὰρ οὗτοι συνεπρίαντο πολλὴν χώραν, [καὶ με]τ' [17]) οὐ πολὺ τῆς τῶν χρεῶν ἀποκοπῆς γενομένης ἐπλούτουν· ὅθεν φασὶ
3 γενέσθαι τοὺς ὕστερον δο[κο]ῦντας εἶναι παλαιοπλούτους. οὐ μὴν ἀλλὰ πιθ[ανώ]τερος [ὁ] τῶν δημοτικῶ[ν λ]όγος· οὐ γὰρ [εἰκ]ὸς ἐν μὲν τοῖς ἄλλοις οὕτω μέτριον γενέσθαι καὶ κοινὸν ὥστ', ἐξὸν αὐτῷ τοὺς [ν]όμους [18]) ὑποποιησάμενον τυραννεῖν τῆς πόλεως, ἀμφοτέροις ἀπεχ[θ]έσθαι καὶ περὶ πλείονος [ποι]ήσασθαι τ[ὸ κα]λὸν καὶ τὴν τῆς πόλεως σωτηρίαν ἢ τὴν αὐτοῦ πλεονεξίαν, ἐν [οὕτ]ω δὲ μικροῖς [καὶ] ἀν[αξίο]ις καταρ-
4 ρυπαίν[ε]ιν ἑαυτόν. ὅτι δὲ ταύτην ἔσχε τὴν ἐξουσίαν, τά τε πράγματα νοσοῦντα μα[ρτυ]ρεῖ [τοῦ]το, καὶ ἐν τοῖς ποιήμασιν αὐτὸς πολλαχοῦ

---

[14]) Bl D. Ka. 130; S. cruce denotans locum suspectum esse, legit post Ἰαονιας: καὶ γὰρ ἐπελαύνει καὶ πρὸς κτέ («sed sensus in obscuro»).
[15]) τί[θεσ]θε Bl. (Platt.).
[16]) Delet Ka. 81. 134.
[17]) Bl.; S.[μετὰ δ'].
[18]) K., Ka. 135; S. [ἑτ]έ[ρο]υς.

Въ ней онъ съ обѣими партіями борется за обѣихъ, обсуждаетъ спорные вопросы и наконецъ и тѣмъ и другимъ сообща совѣтуетъ прекратить свое соперничество. Былъ же Солонъ по происхожденію и значенію своему въ городѣ однимъ изъ первыхъ, по имуществу же и роду занятій принадлежалъ къ среднему классу населенія. Это доказывается какъ многимъ другимъ, такъ, въ особенности, его собственнымъ свидѣтельствомъ въ слѣдующемъ стихотвореніи, въ которомъ онъ убѣждаетъ богатыхъ оставить свои неумѣренныя притязанія:

Знатные, благами жизни пресытившись, нынѣ умѣрить
Гордость свою вы должны, сердце свое укротить,
Будьте скромнѣе въ желаньяхъ, вѣдь мы, какъ вы знаете сами,
Не захотимъ уступить; вамъ же удастся не все...

Вообще постоянно онъ причиною раздоровъ называетъ поведеніе богатыхъ; поэтому онъ и въ началѣ элегіи говоритъ, что боится

Къ деньгамъ стремленія однихъ, спеси чрезмѣрной другихъ,

какъ-бы и то и другое были причиною вражды классовъ.

VI. Получивъ полномочія Солонъ, съ одной стороны, далъ простонародью свободу и въ настоящемъ и на предбудущія времена, воспретивъ кабалу за долги, съ другой — устроилъ отмѣну всѣхъ долговъ, и частныхъ и государственныхъ, что называютъ «снятіемъ бремени», потому что какъ бы бремя удалось стряхнуть народу. Въ послѣднемъ отношеніи нѣкоторые люди пытаются оклеветать его. Случилось такъ, что Солонъ, собираясь устроить «снятіе бремени» сказалъ объ этомъ кое-кому изъ своихъ пріятелей, и вотъ, какъ разсказываютъ народолюбцы, друзья перехитрили его, хулители же сообщаютъ, что и самъ Солонъ принималъ участіе въ продѣлкѣ. За долгъ накупили они большіе участки земли, и, когда, вскорѣ затѣмъ, долги были отмѣнены, разбогатѣли: отсюда, какъ говорятъ, ведутъ свое начало потомъ считавшіеся изстари богатыми роды. Конечно, гораздо убѣдительнѣе разсказъ народной партіи. Солонъ въ другихъ отношеніяхъ былъ такъ умѣренъ и безкорыстенъ, что, хотя ему и было возможно, издавъ выгодные для себя законы, сдѣлаться тиранномъ въ городѣ, онъ предпочелъ заслужить ненависть обѣихъ партій и болѣе значенія придалъ благости поступковъ и спасенію города, чѣмъ собственному обогащенію. Невѣроятно, чтобы такой человѣкъ запятналъ свою славу въ вещахъ неважныхъ и его недостойныхъ. Что у него была возможность достигнуть тиранніи, объ этомъ свидѣтельствуетъ и разстроенное состояніе города и самъ онъ нерѣдко вспоминаетъ въ своихъ стихотворе-

μέμνηται, καὶ οἱ ἄλλοι συνομολογοῦσι πάντες. ταύτην μὲν οὖν χρὴ νομίζειν ψευδῆ τὴν αἰτίαν εἶναι.

VII. πολιτείαν δὲ κατέστησε καὶ νόμους ἔθηκεν ἄλλους, τοῖς δὲ Δράκοντος θεσμοῖς ἐπαύσαντο χρώμενοι πλὴν τῶν φονικῶν. ἀναγράψαντες δὲ τοὺς νόμους εἰς τοὺς κύρβεις ἔστησαν ἐν τῇ στοᾷ τῇ βασιλείῳ καὶ ὤμοσαν χρήσεσθαι πάντες. οἱ δ' ἐννέα ἄρχοντες ὀμνύντες πρὸς τῷ λίθῳ κατεφάτιζον ἀναθήσειν ἀνδριάντα χρυσοῦν, ἐάν τινα παραβῶσι
2 τῶν νόμων· ὅθεν ἔτι καὶ νῦν οὕτως ὀμνύουσι. κατεκύρωσεν δὲ τοὺς νόμους εἰς ἑκατὸν [ἔ]τη καὶ διέταξε τὴν πολιτείαν τόνδε <τὸν> τρόπον.
3 <τὸ πᾶν πλῆθος ἐκ> τιμημάτ[ων] [19]) διεῖλεν εἰς τέτταρα τέλη, καθάπερ διῄρητο καὶ πρότερον, εἰς πεντακοσιομ[έδιμ]ν[ον καὶ ἱππέα]
pag. III. καὶ ζευγίτην καὶ θῆτα. τὰς μ[ὲ]ν [20]) ἀρχὰς ἀπένειμεν ‖ ἄρχειν ἐκ πεντακοσιομεδίμνων καὶ ἱππέων καὶ ζευγιτῶν, τοὺς ἐννέα ἄρχοντας καὶ τοὺς ταμίας καὶ τοὺς πωλη[τὰς] καὶ τοὺς ἕνδεκα καὶ τοὺς κωλακρέτας, ἑκάστοις ἀνάλογον τῷ μεγέθει τοῦ τιμ[ή]μ[ατο]ς ἀποδιδοὺς τ[ὴν ἀρ]χήν. τοῖς δὲ τὸ θητικὸν τελοῦσιν ἐκκλησίας καὶ δικαστηρίων
4 μετέδωκε μόνον. ἔδει δὲ τελεῖν πεντακοσιομέδιμνον μὲν ὃς ἂν ἐκ τῆς οἰκείας ποιῇ πεντακόσια μέτρα τὰ συνάμφω ξηρὰ καὶ ὑγρά, ἱππάδα δὲ τοὺς τριακόσια ποιοῦντας (ὡς δ' ἔνιοί φασι τοὺς ἱπποτροφεῖν δυνα-
μένους. σημεῖον δὲ φέρουσι τό τε ὄνομα το[ῦ] τέλους, ὡς ἂν ἀπὸ τοῦ πράγματος κείμενον, καὶ τὰ ἀναθήματα τῶν ἀρχαίων· ἀνάκειται γὰρ ἐν ἀκροπόλει εἰκὼν ⟦Διφίλου⟧, ἐ[φ' ᾗ ἐπ]ιγέγραπται τάδε·

Διφίλου Ἀνθεμίων τήνδ' ἀνέθηκε θεοῖς,
θητικοῦ ἀντὶ τέλους ἱππάδ' ἀμειψάμενος·

καὶ παρέστηκεν ἵππος ἐκμαρτυρῶν [21]), ὡς τὴν ἱππάδα τοῦτο σημα[ί]νουσ[α]ν. οὐ μὴν ἀλλ' εὐλογώτερον τοῖς μέτροις διῃρῆσθαι καθάπερ τοὺς πεντακοσιομεδίμνους), ζευγίσιον δὲ τελεῖν τοὺς διακόσια τὰ συνάμφω ποιοῦντας· τοὺς δ' ἄλλους θητικόν, οὐδεμιᾶς μετέχοντας ἀρχῆς. διὸ καὶ νῦν ἐπειδὰν ἔρηται τὸν μέλλοντα κληροῦσθαί τιν' ἀρχήν, ποῖον τέλος τελεῖ, οὐδ' ἂν εἰς εἴποι θητικόν.

---

[19]) Ka. 136; S. de lacuna solam affert opinionem K.-W.

[20]) Ka. 137.; S. μ[ὲν οὖ]ν.

[21]) Suspectum: Ka. 139; S. delet. Distichon etiam ap. Pollucem VIII, 131, ubi unus e codicibus τόνδ'.

ніяхъ, и прочіе свидѣтели съ этимъ согласны. Итакъ, обвиненіе его въ корыстныхъ цѣляхъ нужно считать лживымъ.

VII. Онъ ввелъ государственное устройство и установилъ новые законы; установленія же Драконта перестали примѣняться, кромѣ тѣхъ, которыя касались убійствъ. Законы были записаны на вращающихся доскахъ и ихъ поставили въ царской палатѣ и всѣ принесли присягу, что будутъ слѣдовать имъ. Девять же архонтовъ, принеся присягу передъ камнемъ, торжественно обѣщались посвятить золотого идола, если преступятъ какой-либо изъ законовъ. Отсюда они и понынѣ приносятъ такую присягу. Законы свои Солонъ утвердилъ на сто лѣтъ и гражданскую общину привелъ въ слѣдующій порядокъ. Онъ раздѣлилъ весь народъ на четыре класса, какъ онъ дѣлился и раньше: на пентакосіомедимновъ, всадниковъ, зевгитовъ и ѳитовъ. Занимать должности предоставилъ онъ пентакосіомедимнамъ, всадникамъ и зевгитамъ, давъ каждому право на соотвѣтствующую величинѣ его достоянія должность; къ этимъ должностямъ относились: 1 девять архонтовъ, 2 казначеи, 3 политы, 4 коллегія одиннадцати и 5 колакреты. Тѣмъ, что̀ принадлежали къ классу ѳитовъ, онъ далъ лишь право участвовать въ народномъ собраніи и судилищахъ. Съ классомъ пентакосіомедимновъ несъ повинности тотъ, кто получалъ изъ имѣнія своего пятьсотъ мѣръ вмѣстѣ твердаго и жидкаго; съ всадниками-же тѣ, что̀ получали триста мѣръ того же. Нѣкоторые, впрочемъ, говорятъ, что къ всадникамъ относились граждане, бывшіе въ состояніи держать лошадь. Въ доказательство ссылаются на названіе этого класса, взятое, по ихъ мнѣнію, отъ дѣйствительнаго положенія дѣлъ, а также и на старинныя посвященія. Такъ въ акрополѣ находится изображеніе съ слѣдующею надписью:

Дѝфиловъ Анѳеміонъ это богамъ посвятилъ:
Ѳитовъ оставивъ разрядъ нынѣ сталъ всадникомъ онъ,

и тутъ же находится изображеніе лошади, представляя собою, какъ полагаютъ, всадническое сословіе. Правдоподобнѣе однако, что всадники, подобно пентакосіомедимнамъ, отличались отъ другихъ классовъ количествомъ мѣръ. Зевгитскія повинности несли тѣ, что̀ получали и твердаго и жидкаго урожая двѣсти мѣръ. Всѣ остальные причислялись къ ѳитамъ, неимѣвшимъ участія въ администраціи. Поэтому-то и теперь даже, если спрашиваютъ кого-либо, желающаго подвергнуться жеребьевкѣ на должность, къ какому онъ классу принадлежитъ, едва ли кто-нибудь скажетъ, что къ ѳитамъ.

VIII. τὰς δ' ἀρχὰς ἐποίησε κληρωτὰς ἐκ προκρίτων, [ο]ὓς [ἑκάσ]τη προκρίνειε τῶν φυλῶν. προὔκρινεν δ' εἰς τοὺς ἐννέα ἄρχοντας ἑκάστη δέκα, καὶ <ἐκ> τού[των ἐκλ]ήρουν· [22]) ὅθεν ἔτι διαμένει ταῖς φυλαῖς τὸ δέκα κληροῦν ἑκάστην, εἶτ' ἐκ τούτων κυαμεύειν. σημεῖον δ' ὅτι κληρωτὰς ἐποίησεν ἐκ τῶν τιμημάτων ὁ περὶ τῶν ταμιῶν νόμος, ᾧ χρώμενοι [διατελο]ῦσιν ἔτι καὶ νῦν· κελεύει γὰρ κληροῦν τοὺς ταμίας
2 ἐκ πεντακοσιομεδίμνω[ν. Σόλ]ωνι μὲν οὖν οὕτως ἐνομοθέτησεν περὶ τῶν ἐννέα ἀρχόντων. τὸ γὰρ ἀρχαῖον ἡ ἐν Ἀρείῳ [πάγῳ βου]λὴ ἀνακαλεσαμένη καὶ κρίνασα καθ' αὑτὴν τὸν ἐπιτήδειον ἐφ' ἑκάστῃ
3 τῶν ἀρχῶν ἐπ' [ἐν]ια[υτ]ὸν [καθιστᾶ]σα [23]) ἀπέστελλεν. φυλαὶ δ' ἦσαν τέτταρες καθάπερ πρότερον καὶ φυλοβασιλεῖς τέτταρες. ἐκ δὲ [τῆς] φυ[λῆς ἑκ]άστης ἦσαν νενεμημέναι τριττύες μὲν τρεῖς, ναυκραρίαι δὲ δώδεκα καθ' ἑκάστην. [ἐπὶ δὲ τῶν] ναυκραριῶν ἀρχὴ καθεστηκυῖα ναύκραροι, τεταγμένη πρός τε τὰς ε[ἰσ]φορὰς καὶ τὰς δαπ[άνας] τὰς γινομένας· διὸ καὶ ἐν τοῖς νόμοις τοῖ[ς Σ]όλωνος, οἷς οὐκέτι χρῶνται, πολλαχ[οῦ] γέγραπται 'τοὺς ναυκράρους εἰσπράττειν' καὶ 'ἀναλίσκειν
4 ἐκ τοῦ ναυκραρικοῦ ἀργυρ[ίου'. βουλ]ὴν δ' ἐποίησε τετρακοσίους, ἑκατὸν ἐξ ἑκάστης φυλῆς, τὴν δὲ τῶν Ἀρεοπαγιτῶν ἔταξεν ἐ[πὶ τὸ] νομοφυλακεῖν, ὥσπερ ὑπῆρχεν καὶ πρότερον ἐπίσκοπος ο[ὖ]σα τῆς πολιτείας· ᾗ [24]) τά τε ἄλλα τὰ πλεῖστα καὶ τὰ μέγιστα τῶν πολιτ<ικ>ῶν διετήρει καὶ τοὺς ἁμαρτάνοντας ηὔθυνεν κυρί[α] οὖσα [καὶ ζη]μι[οῦν] καὶ κολάζειν, καὶ τὰς ἐκτίσεις ἀνέφερεν εἰς πόλιν οὐκ ἐπιγράφουσα τὴν πρόφασι[ν τοῦ εὐθύν]εσθαι [25]), καὶ τοὺς ἐπὶ καταλύσει τοῦ δήμου συν[ι]σταμένους ἔκρινεν, Σόλωνος θέν[τος] νόμον εἰσα[γγ]ελ[ίας] [26]) περὶ
5 αὐτῶν. ὁρῶν δὲ τὴν μὲν πόλιν πολλάκις στασιάζουσαν, τῶν δὲ πολιτῶν ἐνίους δ[ιὰ] τὴν ῥαθυμ[ία]ν [ἀγαπῶ]ντας τὸ αὐτόματον, νόμον ἔθηκε πρὸς αὐτοὺς ἴδιον, ὃς ἂν στασιαζούσης τῆς πόλ[εω]ς μ[ὴ θ]ῆται τὰ ὅπλα μηδὲ μεθ' ἑτέρων, ἄτιμον εἶναι καὶ τῆς πόλεως μὴ μετέχειν.

IX. τὰ μὲν οὖν [περὶ τὰ]ς ἀρχὰς τ[οῦτ]ον εἶχε τὸν τρόπον. δοκεῖ δὲ τῆς Σόλωνος πολιτείας τρία ταῦτ' [27]) εἶναι τὰ δημοτικώτατα· πρῶτον

---

[22]) K.-W. Ka. 139—140. S. τού[τοις] ἐ[πεκ]λήρουν.
[23]) K.-W. Ka. 141. Bl. et S: διατάξα]σα.
[24]) Bl.; S. καὶ.
[25]) K. Ka. 142—3; S. τοῦ πράττ]εσθαι asterisco propriam esse coniecturam denotans. De hiatu cf. Ka. 10 sqq.
[26]) Wss. K. S; dubium. Cf. W.-M. I, 53. n. 22.
[27]) Sic papyrum secutus S.

VIII. Должности установилъ онъ замѣщать посредствомъ жеребьевки изъ числа предварительно избранныхъ кандидатовъ, которыхъ назначила заранѣе каждая фила. На должность девяти архонтовъ каждая изъ нихъ заранѣе назначала десять человѣкъ и среди нихъ бросали жеребій; отъ этого обыкновенія сохранилось еще то, что каждая фила жеребьевкою выбираетъ десять человѣкъ, а уже изъ этихъ посредствомъ бобового жеребія выбираются архонты. Доказательствомъ того, что жеребій у него былъ поставленъ въ зависимость отъ имущественнаго положенія, служитъ законъ о казначеяхъ, которымъ и до сихъ поръ пользуются; онъ приказываетъ для выбора казначеевъ бросать жеребій между пентакосіомедимнами. Итакъ Солонъ относительно девяти архонтовъ издалъ такого рода законы. Въ старину вѣдь совѣтъ Ареопага призывалъ самъ и выбиралъ подходящаго для какой-либо должности и поставлялъ его на годъ исправлять ее. Филъ, какъ и прежде, было четыре, и четыре было и царей филъ; каждая фила дѣлилась на три трети и двѣнадцать навкрарій. При навкраріяхъ состояла должность навкраровъ, установленная для сбора подати и для могущихъ быть расходовъ. Поэтому-то въ тѣхъ законахъ Солона, которыми уже не пользуются, во многихъ случаяхъ написано «чтобы навкрары взыскали» и «издержать изъ денегъ навкраровъ». Онъ учредилъ совѣтъ четырехсотъ, по сотнѣ изъ каждой филы, совѣту же Ареопагитовъ поручилъ быть стражемъ законовъ, подобно тому какъ онъ и прежде имѣлъ надзоръ надъ всею гражданской общиной. Онъ наблюдалъ за наиболѣе важными и многочисленными дѣлами государства, пользовался правомъ наказывать штрафами и другими карами погрѣшающихъ, сообщалъ городской общинѣ назначенные штрафы, не записывая повода къ наказанію, и судилъ тѣхъ, кто соединялись для ниспроверженія власти народа, послѣ того какъ Солонъ издалъ о нихъ законъ относительно чрезвычайныхъ жалобъ. Видя, однако, что въ городѣ часто происходятъ волненія, а нѣкоторые изъ гражданъ по своему равнодушію смотрятъ съ удовольствіемъ на случайныя перемѣны въ государствѣ, онъ издалъ спеціальный законъ противъ этихъ равнодушныхъ, что, если, въ случаѣ смуты въ городѣ, кто-либо не станетъ со своимъ оружіемъ въ ряды одной изъ партій, тотъ будетъ лишенъ чести и гражданскихъ правъ.

IX. Должности, такимъ образомъ, представлялись въ вышеизложенномъ видѣ. Можно счесть, что въ государ-

μὲν καὶ μέγιστον τὸ μὴ δανείζειν ἐπὶ τοῖς σώμασιν, ἔπειτα τὸ ἐξεῖναι τῷ βουλομένῳ [τιμωρεῖν] ὑπὲρ τῶν ἀδικουμένων, τρίτον δέ, [ᾧ] μάλιστά φασιν ἰσχυκέναι τὸ πλῆθος, ἡ εἰς τὸ δικ[αστήριον] ἔφεσις·
2 κύριος γὰρ ὢν ὁ δῆμος τῆς ψήφου κύριος γίνεται τῆς πολιτείας. ἔτι δὲ καὶ διὰ τὸ μὴ γεγρ[ά]φθ[αι το]ὺς νόμους ἁπλῶς μηδὲ σαφῶς, ἀλλ' ὥσπερ ὁ περὶ τῶν κλήρων καὶ ἐπικλήρων, ἀν[άγ]κ[η το]λλὰς ἀμφισβητήσεις γίνεσθαι καὶ πάντα βραβεύειν καὶ τὰ κοινὰ καὶ τὰ ἴδια τὸ δικα[στ]ήρ[ιον]. οἴονται μὲν οὖν τινες ἐπίτηδες ἀσαφεῖς αὐτὸν ποιῆσαι τοὺς νόμους, ὅπως ᾖ τῆς κρίσεως [ὁ δ]ῆ[μος κ]ύριος. οὐ μὴν εἰκός ἀλλὰ διὰ τὸ μὴ δύνασθαι καθόλου περιλαβεῖν τὸ βέλτιστον· οὐ γὰρ [δ]ίκ[αιον] ἐκ τῶν νῦν γινομένων ἀλλ' ἐκ τῆς ἄλλης πολιτείας θεωρεῖν τὴν ἐκείνου βούλησιν.

X. ἐν [μὲν οὖν τ]οῖς νόμοις ταῦτα δοκεῖ θεῖναι δημοτικά, πρὸ δὲ τῆς νομοθεσίας ποιήσα[ς] [28]) τὴν τῶν χρεῶ[ν ἀπο]κοπὴν καὶ μετὰ ταῦτα τήν τε τῶν μέτρων καὶ σταθμῶν καὶ τὴν τοῦ νομίσματος
2 αὔξησιν. ἐπ' ἐκείνου γὰρ ἐγένετο καὶ τὰ μέτρα μείζω τῶν Φειδωνείων, καὶ ἡ μνᾶ πρότερον [ἄγο]υσα [σ]τα[θμ]ὸν [29]) ἑβδομήκοντα δραχμὰς
pag. IV. ἀνεπληρώθη ταῖς ἑκατόν. || ἦν δ' ὁ ἀρχαῖος χαραχτὴρ διδραχμον. ἐποίησε δὲ καὶ σταθμὰ πρὸς τ[ὸ] νόμισμα τ[ρ]εῖς καὶ ἑξήκοντα μνᾶς τὸ τάλαντον ἀγούσας, καὶ ἐπιδιενεμήθησαν [αἱ γ'] μναῖ τῷ στατῆρι καὶ τοῖς ἄλλοις σταθμοῖς.

XI. διατάξας δὲ τὴν πολιτείαν ὄνπερ εἴρηται τρόπον, ἐπειδὴ προσιόντες αὐτῷ περὶ τῶν νόμων ἐνώχλουν [30]) τὰ μὲν ἐπιτιμῶντες τὰ δὲ ἀνακρίνοντες, βουλόμενος μήτε ταῦτα κινεῖν μήτ' ἀπεχθάνεσθαι παρών, ἀποδημίαν ἐποιήσατο κατ' ἐμπορίαν ἅμα καὶ θεωρίαν εἰς Αἴγυπτον [εἰπ]ὼν ὡς οὐ[χ ἥξ]ει δέκα ἐτῶν· οὐ γὰρ οἴεσθαι δίκαιον εἶναι [το]ὺς νόμους ἐξηγεῖσθαι παρών, ἀλλ' ἕκαστον τὰ γεγραμμένα ποιῆσαι.

---

[28]) Ka. 145.; S. ποιῆσαι.
[29]) D ; S. παρα[πλήσ]ιον. De toto capite X cf. H Nisseni commentationem in Museo Rhenano XLIX, 1 (1891). [αἱ γ'] μναῖ Bl. Nissen. ib. S: [αἱ] μναῖ.
[30]) K.-W. Bl. papyrum secuti; S. ἠνώχλουν.

ственномъ строѣ были слѣдующія три въ высшей степени демократическія черты: во первыхъ, что важнѣе всего, отмѣна кабалы за долги, во-вторыхъ, всякому желающему дано было право жаловаться за обижаемыхъ, въ-третьихъ— что особенно содѣйствовало усиленію народа—право аппеляціи въ народный судъ: вѣдь, разъ народъ завладѣлъ рѣшающимъ голосомъ въ судѣ, въ его руки переходитъ и верховная власть въ государствѣ. Къ тому же и вслѣдствіе запутанности и неясности въ редакціи законовъ, какъ напримѣръ, въ законѣ о доляхъ въ наслѣдствѣ и о наслѣдницахъ, по необходимости должны возникать многіе случаи сомнѣнія, и народный судъ распоряжается всѣми какъ общественными, такъ и частными дѣлами. Нѣкоторые думаютъ, что Солонъ нарочно составилъ законы неясно, чтобы предоставить рѣшающій голосъ народу. Это едва-ли вѣроятно: причина была та, что ему не удавалось найти сряду лучшее общее выраженіе для закона. По справедливости однако слѣдуетъ судить о его намѣреніяхъ не съ точки зрѣнія нынѣшняго положенія дѣлъ, но принимая въ соображеніе, каково во всемъ остальномъ тогда было государственное устройство.

X. Итакъ, въ законахъ таковы были его постановленія, клонившіяся къ выгодѣ народа, между тѣмъ какъ, еще до законодательства, онъ, для той же цѣли, уничтожилъ долги, а потомъ совершилъ увеличеніе мѣры, вѣса и монетъ. При немъ мѣры стали больше фидоновскихъ, и мина, равняющаяся по прежнему вѣсу 70 драхмамъ, получила полное число ста драхмъ. Ходячей же монетою въ старину была дидрахма. Установилъ онъ, въ соотвѣтствіи съ монетною системою, и вѣсовую, въ которой на талантъ приходилось по вѣсу шестьдесятъ три мины, и были эти лишнія три мины подѣлены въ пропорціональныхъ количествахъ по статирамъ и остальнымъ вѣсовымъ единицамъ.

XI. Послѣ того, какъ Солонъ далъ такой порядокъ государственному устройству, граждане стали докучать ему, обращаясь къ нему относительно законовъ то съ порицаніями, то съ распросами. Онъ не пожелалъ ни измѣнить чего-либо въ вышеизложенномъ, ни сдѣлаться предметомъ ненависти согражданъ, оставаясь въ Аѳинахъ, и предпринялъ путешествіе въ Эгипетъ, какъ для торговыхъ цѣлей, такъ и для ознакомленія со страною; онъ заявилъ при этомъ, что не вернется въ теченіи десяти лѣтъ, такъ какъ, по его мнѣнію, ему не пристало оставаться въ городѣ и объяснять законы, но всякій долженъ исполнять

2 ἅμα δὲ καὶ συνέβαινεν αὐτῷ τῶν τε γνωρίμων διαφόρους γεγενῆσθαι πολλοὺς διὰ τὰς τῶν χρεῶν ἀποκοπά[ς, κ]αὶ τὰς στάσεις ἀμφοτέρας μεταθέσθαι διὰ τὸ παρὰ δόξαν αὐτοῖς γενέσθαι τὴν κατάστασιν. ὁ μὲν γὰρ δῆμος ὤετο πάντ' ἀνάδαστα ποιήσειν αὐτόν, οἱ δὲ γνώριμοι [πά]λιν ἢ τὴν αὐτὴν τάξιν ἀποδώσειν ἢ [μικρὸν] παραλλάξ[ειν. ὁ δὲ ἀ]μφοτέροις ἠναντιώθη, καὶ ἐξὸν αὐτῷ μεθ' ὁποτέρων ἐβούλετο συστά[ν-τα] [31]) τυραννεῖν εἵλετο πρὸς ἀμφοτέρους ἀπεχθέσθαι, σώσας τὴν πατρίδα καὶ τὰ βέ[λτι]στα νομοθετήσας.

XII. ταῦτα δ' ὅτι τοῦτον <τὸν> τρόπον ἔσχεν οἵ τ' ἄλλοι συμφωνοῦσι πάντες καὶ αὐτὸς ἐν τῇ ποιήσει μέ[μν]ηται περὶ αὐτῶν ἐν τοῖσδε·

δήμῳ μὲν γὰρ ἔδωκα τόσον γέρας [32]) ὅσσον ἀπαρ[κεῖ],
τιμῆς οὔτ' ἀφελὼν οὔτ' ἐπορεξάμενος·
οἵ δ' εἶχον δύναμιν καὶ χρήμασιν ἦσαν ἀγητο[ί],
καὶ τοῖς ἐφρασάμην μηδὲν ἀ[ει]κὲς ἔχειν.
ἕστην δ' ἀμφιβαλὼν κρατερὸν σάκος ἀμφοτέροισι,
ν[ι]κᾶν δ' οὐκ εἴασ' οὐδετέρους ἀδίκως.

2 πάλιν δ' ἀποφαινόμενος περὶ τοῦ πλήθους, ὡς α[ὐτ]ῷ δεῖ χρῆσθαι·

δῆμος δ' ὧδ' ἂν ἄριστα σὺν ἡγεμόνεσσιν ἕποιτο,
μήτε λίαν [33]) ἀν[ε]θεὶς μήτε βιαζόμενος [34]).
τίκτει γὰρ κόρος ὕβριν, ὅταν πολὺς ὄλβος ἕπητ[αι]
ἀνθρώποισιν ὅσοις μὴ νόος ἄρτιος ἦ [35]).

3 καὶ [36]) πάλιν δ' ἑτέρωθί που λέγει περὶ τῶν διανείμασθαι τὴν γῆν βουλομένων·

οἳ δ' ἐφ' ἁρπαγαῖσιν ἦλθον, ἐλπί[δ' εἶ]χον ἀφνεάν,
κἀδόκουν ἕκαστος αὐτῶν ὄλβον εὑρήσειν πολύν,
καί με κωτίλλοντα λείως τραχὺν ἐκφανεῖν νόον,
χαῦνα μὲν τότ' ἐφράσαντο, νῦν δέ μοι χολούμενοι
λοξ[ὸν ὀ]φθαλ[μοῖ]σ' ὁρῶσι πάντες ὥστε δήιον· [37])
οὐ χρεών· ἃ μὲν γὰρ εἶπα σὺν θεοῖσιν ἥνυ[σα],
[ἄλλα δ' ο]ὐ μ[ά]την ἔρδ[ο]ν [38]), οὐδέ μοι τυραννίδος

---

[31]) Bl; S. συστά[ντι].
[32]) κράτος. fr. 5 Bgk[4].
[33]) λίην. fr. 6. Bgk[4].
[34]) πιεζόμενος. ib.
[35]) Quod distichon habes detortum in Theognideis 153—154 Bgk[4].
[36]) K.-W. uncis secludunt καὶ, de quo cf. Ka. 148.
[37]) δήϊοι fr. 34 Bgk[4].
[38]) Detorta habes fr. 35 Bgk[4]. ex Aristid. II 536 Di: Ἃ μὲν ἄελπτα σὺν θεοῖσιν ἥνυσ', ἄλλα δ'οὐ μάτην ἔρδον.

написанное имъ. Одновременно случилось, что и знатные стали къ нему относиться враждебно изъ-за уничтоженія долговъ, и обѣ партіи измѣнили свой взглядъ на него, потому что установленіе имъ государственнаго строя совершилось не по ихъ желанію. Народъ надѣялся на полный дѣлежъ имуществъ, знатные-же думали, что онъ имъ дастъ или опять прежніе порядки, или произведетъ лишь незначительную перемѣну; онъ-же воспротивился и тѣмъ и другимъ. Между тѣмъ какъ ему представлялась возможность, ставъ на любую сторону, сдѣлаться тиранномъ, онъ предпочелъ навлечь на себя ненависть обѣихъ партій, но зато спасти родину и издать прекраснѣйшіе законы.

XII. Что дѣла были такого рода, въ томъ согласны всѣ свидѣтельства, да и самъ онъ въ стихотвореніяхъ своихъ вспоминаетъ объ этомъ въ слѣдующихъ словахъ:

Далъ я народу изъ правъ лишь такія, какихъ имъ нужно,
Чести его не лишилъ, не далъ и лишней за то,
Тѣмъ же, что̀ силу имѣли, богатствомъ владѣя огромнымъ,
Тѣмъ я далъ также понять, гдѣ ихъ захватамъ предѣлъ.
Крѣпкимъ щитомъ своимъ тѣхъ и другихъ покрывая, стоялъ я,
Не далъ въ неправой борьбѣ верхъ взять одной изъ сторонъ.

Въ другомъ мѣстѣ онъ высказываетъ слѣдующее мнѣніе объ обращеніи съ народомъ:

Такъ всего лучше согласно съ вождями народъ поведешь ты
Слишкомъ его не щадя, но и не слишкомъ тѣсня,
Сытость вѣдь наглость рождаетъ всегда, гдѣ лишь счастья избытокъ
Людямъ дается, чей нравъ съ мѣрой ни въ чемъ не знакомъ.

И опять въ иномъ мѣстѣ о желавшихъ дѣлежа земли онъ говоритъ:

А они желая грабить, ожиданій шли полны,
Думалъ каждый, что добудетъ благъ житейскихъ безъ границъ,
Думалъ: подъ личиной мягкой крою я свирѣпый нравъ.
Тщетны были ихъ мечтанья... Нынѣ, въ гнѣвѣ, на меня
Смотрятъ всѣ они такъ злобно, словно сталъ я имъ врагомъ.
Такъ пусть... Мнѣ, что̀ обѣщалъ я, все-жъ исполнить удалось.
И труды мои не тщетны! Не хочу я, какъ тираннъ

104766.

ἀνδάνει βίᾳ τι [ῥέζ]ειν, οὐδὲ πιε[ίρ]ας χθονὸς
πατρίδος κακοῖσιν ἐσθλοὺς ἰσομοιρίαν ἔχειν.

[πάλιν] δὲ καὶ περὶ τῆς ἀπ[οκ]οπῆς τῶν χ[ρε]ῶν [39]) καὶ τῶν δουλευόντων μὲν πρότερον ἐλευθερωθέντον δὲ διὰ τὴν σεισάχθειαν·

ἐγὼ δὲ τῶν μὲν οὕνεκ' ἀξονηλατῶν [40])
δῆμόν τι τούτων πρὶν τυχεῖν ἐπαυσάμην,
συμμαρτυροίη ταῦτ' ἂν ἐν δίκῃ χρόνου
μήτηρ μεγίστη δαιμόνω[ν Ὀλυ]μπίων
ἄριστα, Γῆ μέλαινα, τῆς ἐγώ ποτε
[ὅ]ρους ἀνεῖλον πολλαχῇ πεπηγότα[ς],
[πρόσθ]εν δὲ δουλεύουσα, νῦν ἐλευθέρα.
πολλοὺς δ' Ἀθήνας, πατρίδ' εἰς θεόκτιτ[ον],
[ἀνή]γαγον πραθέντας, ἄλλον ἐκδίκως,
ἄλλον δικαίως, τοὺς δ' ἀναγκαίης ὑπὸ
χρειοῦς φυγόντας [41]), γλῶσσαν οὐκέτ' Ἀττικὴν
ἱέντας, ὡς ἂν πολλαχῇ πλαν[ωμένους],
τοὺς δ' ἐνθάδ' αὐτοῦ δ[ουλί]ην ἀεικέα
[ἔ]χοντας, ἤθη δεσποτῶν τρομευμέν[ους],
[ἐλ]ευθέρους ἔθηκα. ταῦτα μὲν κράτει,
ὁμοῦ [42]) βίαν [43]) τε καὶ δίκην συναρμόσας,
[ἔρ]εξ[α], καὶ διῆλθον [44]) ὡς ὑπεσχόμην.
θεσμοὺς δ' ὁμοίως τῷ κακῷ τε κἀγαθῷ,
εὐθεῖαν εἰς ἕκαστον ἁρμόσας δίκην,
ἔγραψα. κέντρον δ' ἄλλος ὡς ἐγὼ λαβών,
[κακ]οφραδής τε καὶ φιλοκτήμων ἀνήρ,
οὐκ ἂν κατέσχε δῆμον· εἰ γὰρ ἤ[θε]λον
ἃ τοῖς ἐναντίο[ισι]ν ἤνδανεν τότε,
αὖθις δ' ἃ τοῖσιν οὗτεροι φρασαίατο [45]),
πολλῶν ἂν ἀνδρῶν ἥδ' ἐχηρώθη πόλις.

---

[39]) Ka. 149 suspectum putat; post χρεῶν καὶ idem vult <περὶ> τῶν δουλεόντων.

[40]) Ka. 149, W.-M. II, 310 n. 8. S. ξυνήγαγον, Mihi quidem placet etiam ξενήλατον: «das in der Ferne fremde Sklavenketten trug» (K.-K.).

[41]) χρησμὸν λέγοντας. fr. 36 Bgk.[4]

[42]) νόμου S. papyrum secutus. Cf. Ka. 150—151.

[43]) βίην fr. 36. Bgk.[4]

[44]) διήνυσ' ib.

[45]) τοῖσι νωτέροις, δρᾶσαι δίχα, fr. 37 Bgk.[4]

По пути идти насилій, иль дурнымъ дать ту же часть,
Что́ и добрымъ горожанамъ въ тучныхъ родины поляхъ.

Затѣмъ онъ опять говоритъ объ уничтоженіи долговъ и о тѣхъ, что раньше были рабами, но, по снятіи бремени, получили свободу:

Зачѣмъ, стремясь впередъ на колесницѣ, я
Ее сдержалъ, не давъ народу побѣдить,
Защитницей моей предъ времени судомъ
Въ томъ будетъ величайшее изъ всѣхъ божествъ,
Благая черная земля, съ которой я
Долговъ столбы, въ ней водруженные, убралъ:
Она рабой была, свободу-жъ я ей далъ.
И многихъ, въ данную богами родину,
Привелъ въ Аѳины я, чужимъ запроданныхъ,
Кто правдой, кто неправдой, кто-жъ и самъ съ нужды
Бѣжалъ долговъ, уже языкъ аттическій
Успѣвъ забыть при долгихъ странствіяхъ своихъ.
Другимъ, въ позорномъ рабствѣ въ нашихъ-же стѣнахъ
Живущимъ, въ страхѣ на господъ взирающимъ,
Я далъ свободу. Властью это все своей
Я. справедливости въ опору силу давъ,
Исполнилъ, совершивъ, какъ сдѣлать обѣщалъ.
Законы, равные для добрыхъ и дурныхъ,
А съ ними быстрый и правдивый судъ для всѣхъ,
Я далъ. Вотъ, если-бъ въ руки взялъ другой мой бичъ,
Притомъ зломыслящій, корыстный человѣкъ,
Не могъ-бы онъ сдержать народа: сталъ-бы самъ
Я выполнять хотѣнья стороны одной,
А также, въ чемъ ее противники винятъ,
То многихъ городъ нашъ лишился бы людей!

τῶν οὕνεκ' ἀλκὴν [46]) πάντοθεν ποιεύμενος [47])
ὡς ἐν κυσὶν πολλῆσιν [48]) ἐστράφην λύκος.

ζ καὶ πάλιν ὀνειδίζων πρὸς τὰς ὕστερον αὐτ[ῶν] μεμψιμοιρίας ἀμφοτέρων·

ὀήμῳ μὲν εἰ χρὴ διαφάδην ὀνειδίσαι,
ἃ νῦν ἔχουσιν οὔποτ' ὀφθαλμοῖσιν ἂν
εὔδοντες εἶδον.
ὅσοι δὲ μείζους καὶ βίαν ἀμείνονες
αἰνοῖεν ἄν με καὶ φίλον ποιοίατο.

εἰ γάρ τις ἄλλος, φησί, ταύτης τῆς τιμῆς ἔτυχεν,

οὐκ ἂν κατέσχε δῆμον οὐδ' ἐπαύσατο,
πρὶν ἢ ταράξας [49]) πῖαρ ἐξεῖλεν γάλα. ‖
pag. V. ἐγὼ δὲ τούτων ὥσπερ ἐν μεταιχμίῳ
ὅρος κατέστην.

XIII. τὴν μὲν οὖν ἀποδημίαν ἐποιήσατο διὰ ταύτας τὰς αἰτίας. Σόλωνος δ' ἀποδημήσαντος, ἔτι τῆς πόλεως τεταραγμένης, ἐπὶ μὲν ἔτη τέτταρα διῆγον [ἐ]ν ἡσυχίᾳ· τῷ δὲ πέμπτῳ μετὰ τὴν Σόλωνος ἀρχὴν οὐ κατέστησαν ἄρχοντα διὰ τὴν στ[άσ]ιν, καὶ πάλιν ἔτει πέμπτῳ
2 <διὰ> τὴν αὐτὴν αἰτίαν ἀναρχίαν ἐποίησαν. μετὰ δὲ ταῦτα διὰ τῶν αὐτῶν χρόνων [50]) Δ[αμ]α[σίας αἱρε]θεὶς ἄρχων ἔτη δύο καὶ δύο μῆνας ἦρξεν, ἕως ἐξηλάθη βίᾳ τῆς ἀρχῆς. εἶτ' ἔδοξε[ν] αὐτοῖς διὰ τὸ στασιάζειν ἄρχοντας ἑλέσθαι δέκα, πέντε μὲν εὐπατριδῶν, τρεῖς δὲ ἀ[γρ]οίκων, δύο δὲ δημιουργῶν, καὶ οὗτοι τὸν μετὰ Δαμασίαν [ἦ]ρξα[ν ἐ]νιαυτόν. ᾧ καὶ δῆλον ὅτι μεγίστην εἶχεν δύναμιν ὁ ἄρχων· φαίνονται γὰρ
3 αἰεὶ [51]) στ[α]σιάζοντες περὶ ταύτης τῆς ἀρχῆς. ὅλως δὲ διετέλουν νοσοῦντες τὰ πρὸς ἑαυτούς, οἱ μὲν ἀρχὴν καὶ πρόφασιν ἔχοντες τὴν τῶν χρεῶν ἀποκοπήν, συνεβεβήκει γὰρ αὐτοῖς γεγονέναι πένησιν, οἱ δὲ τῇ πολιτείᾳ δυσχεραίνοντες διὰ τὸ μεγάλην γεγονέναι μεταβολήν,
4 ἔνιοι δὲ διὰ [τὴν] πρὸς ἀλλήλους φιλονικίαν· ἦσαν [δὲ] [52]) αἱ στάσεις τρεῖς· μία μὲν τῶν παραλίων, ὧν προειστήκει Μεγακλῆς ὁ Ἀλ-

---

[46]) ἀρχὴν ib.
[47]) κυκεύμενος ib.
[48]) Bl.; S. πολλαῖσιν
[49]) K.-W., Ka. 152 — 153; S. ἀνταράξας. Fr. 36 Bgk.[4]: ἂν ταράξας—ἐξέλῃ.
[50]) διὰ τῶν αὐτῶν χρόνων supervacaneum videtur esse; cf. Ka. 153.
[51]) ἀεὶ S., Fragm. Berol.
[52]) S. [δ'].

Вотъ почему я долженъ былъ со всѣхъ сторонъ
Такъ отбиваться, словно волкъ средь стаи псовъ.

И опять упрекая обѣ стороны за ихъ позднѣйшее недовольство его мѣрами онъ говоритъ:

Чтобъ правду горькую сказать вамъ: никогда
Народъ того, чего достигъ онъ, и во снѣ
Не увидалъ бы...
А тѣ изъ гражданъ, кто повыше и сильнѣй,
Меня должны бы чтить и другомъ называть.

Вѣдь если-бы кто другой, говоритъ онъ, достигъ такого значенія:

Не могъ-бы онъ сдержать народа, но зато
Онъ снялъ-бы сливки и сболталъ все молоко;
Лишь я одинъ стоялъ, какъ посреди двухъ войскъ
Граничный столбъ.

XIII. Итакъ, вотъ по какимъ причинамъ Солонъ долженъ былъ оставить родину. Онъ удалился во время еще сильныхъ волненій въ городѣ, но затѣмъ аѳиняне четыре года провели въ покоѣ, на пятый же годъ послѣ архонтства Солона изъ-за смутъ они не поставили архонта, а послѣ этого на пятый годъ по той же самой причинѣ снова остались безъ архонта. Затѣмъ избранный (за этотъ же промежутокъ времени) архонтъ Дамасія правилъ два года и два мѣсяца, пока его насильно не лишили власти. Вслѣдствіе раздоровъ, потомъ рѣшили они выбрать десять архонтовъ,—пять изъ евпатридовъ, трехъ изъ агриковъ и двухъ изъ димiурговъ; они правили слѣдующій послѣ Дамасіи годъ. Изъ этого обстоятельства можно заключить, что архонтъ имѣлъ величайшее значеніе въ государствѣ: оказывается, что все время идутъ раздоры изъ-за этой должности. Вообще же отношенія гражданъ другъ къ другу продолжали оставаться нездоровыми. Для однихъ внутренней, равно какъ и внѣшней, причиной являлось уничтоженіе долговъ, такъ какъ изъ-за нихъ они обѣднѣли, другіе были недовольны новымъ государственнымъ строемъ, вслѣдствіе большого произведеннаго имъ переворота; нѣкоторые же участвовали въ борьбѣ изъ партійнаго честолюбія. Существовало три партіи: первой изъ нихъ была партія 1. параліевъ, представителемъ которой былъ Мегаклъ, сынъ Алк-

κμέωνος, ο[ἵ]περ [53]) ἐδόκουν μάλιστα διώκειν τὴν μέσην πολιτείαν· ἄλλη δὲ τῶν πεδια[κῶν], οἳ τὴν ὀλιγαρχίαν ἐζήτουν, ἡγεῖτο δ' αὐτῶν Δυκοῦργος· τρίτη δ' ἡ τῶν διακρίων, ἐφ' ᾗ τεταγμένος ἦν Πει-
5 σίστρατος, δημ[οτ]ι[κ]ώτατος εἶναι δοκῶν. προσεκεκόσμηντο δὲ τούτοις οἵ τε ἀφ[ῃ]ρημένοι τὰ χρέα διὰ τὴν ἀπορ[ί]αν καὶ οἱ τῷ γένει μὴ καθαροὶ διὰ τὸν φόβον· σημεῖον δ' ὅτι μετὰ τὴν <τῶν> τυράννων κατάλυσιν ἐποίησαν διαψηφισμόν, ὡς πολλῶν κοινωνούντων τῆς πολιτείας οὐ προσῆκον. εἶχον δ' ἕκαστοι τὰς ἐπωνυμίας ἀπὸ τῶν τ[ό]πων ἐν οἷς ἐγεώργουν.

XIV. δημοτικώτατος δ' εἶναι δοκῶν ὁ Πεισίστρατος καὶ σφόδρ' εὐδοκιμηκὼς ἐν τῷ πρὸς Μεγαρέας πολέμῳ, κατατραυματίσας ἑαυτὸν συνέπεισε τὸν δῆμον, ὡς [ὑ]π[ὸ] τῶν ἀντιστασιωτῶν ταῦτα πεπονθ[ώ]ς, φυλακὴν ἑαυτῷ δοῦναι τοῦ σώματος, Ἀριστίωνος [γ]ρ[ά]ψαντος τὴν γνώμην. λαβὼν δὲ τοὺς κορυνηφόρους καλουμένους, ἐπαναστὰς μετὰ τούτων τῷ δήμῳ κατέσχε τὴν ἀκρόπολιν ἔτει δευτέρῳ [54]) καὶ τρια-
2 κοστῷ μετὰ τὴν τῶν νόμων θέσιν ἐπὶ Κ[ωμ]έου ἄρχοντος. λέγεται δὲ Σόλωνα, Πεισιστράτου τὴν φυλακὴν αἰτοῦντος, ἀντιλέξαι καὶ εἰπεῖ[ν ὅ]τι τῶν μὲν εἴη σοφώτερος, τῶν δ' ἀνδρειό[τερο]ς. ὅσοι μὲν γὰρ ἀγνοοῦσι Πεισίστρατον ἐπιτιθέμενον τυραν[νίδι], σοφώτερος εἶναι τούτων, ὅσοι δ' εἰδότες κατασιωπῶσιν, ἀνδρειότερος. ἐπεὶ δὲ λέγων [οὐκ ἔπει]θεν, ἐξαράμενος τὰ ὅπλα πρὸ τῶν θυρῶν αὐτὸς μὲν ἔφη βεβοη-
3 θηκέναι τῇ πατρίδι καθ' ὅσον ἦν δυνατός (ἤδη γὰρ σφόδρα πρεσβύτης ἦν), ἀξιοῦν δὲ καὶ τοὺς ἄλλους ταὐτὸ τοῦτο ποιεῖν. Σόλων [μὲν οὖν οὐ]δὲν ἤνυσεν τότε παρακαλῶν· Πεισίστρατος δὲ λαβὼν τὴν ἀρχὴν διῴκει τὰ κοινὰ πολιτικῶς μᾶλλον ἢ τυραννικῶς. οὔπω δὲ τῆς ἀρχῆς ἐρριζωμένης ὁμοφρονήσαντες [οἱ] περὶ τὸν Μεγακλέα καὶ τὸν Δυκοῦ[ργο]ν ἐξέβαλον αὐτὸν ἕκτῳ ἔτει μετὰ τὴν πρώτην κατάστα-
4 σιν ἐφ' Ἡγησίου ἄρχοντος. ἔτει δὲ δωδεκάτῳ [55]) μετὰ ταῦτα περιελαυνόμενος ὁ Μεγακλῆς τῇ στάσει, πάλιν ἐπικηρυκευσάμενος πρὸς [τὸ]ν Πεισίστρατον ἐφ' ᾧ τε τὴν θυγατέρα αὐτοῦ λήψεται, κατήγαγεν αὐτὸν ἀρχαίως [56]) καὶ λίαν ἁπλῶς. προδιασπείρας γὰρ λόγον ὡς

---

[53]) Ka. 154. vult ὅσοιπερ.

[54]) Sic S. papyrum secutus II crucibus locum plane dubium esse denotans; adnotat idem: «δευτέρῳ should be altered into τετάρτῳ, the former being possibly a corruption of δ'», coniectura K.-W. nec non Baueri accepta.

[55]) S. crucibus positis.

[56]) Ka. 154; S. ἀρχαϊκῶς.

меона—они считались сторонниками умѣренной димократіи; къ другой принадлежали педіаки, желавшіе олигархіи—ихъ вождемъ былъ Ликургъ; къ третьей принадлежали діакріи; во главѣ ея стоялъ Писистратъ, считавшійся наибольшимъ сторонникомъ народа. Изъ бѣдности примкнули къ ней тѣ, кто были лишены уплаты должныхъ имъ суммъ, изъ страха тѣ, кто были сомнительнаго происхожденія. Послѣднее можно усмотрѣть изъ того, что, по уничтоженіи тиранніи, была произведена провѣрка гражданскихъ списковъ, какъ бы вслѣдствіе того, что многіе не по праву считались въ числѣ гражданъ. Названія же партій были взяты отъ мѣстъ, гдѣ они обработывали землю.

XIV. Писистратъ, считавшійся наибольшимъ сторонникомъ народа и добившійся славы въ войнѣ съ мегарянами, изранивъ самъ себя, убѣдилъ народъ дать ему тѣлохранителей, представивъ дѣло такъ, что будто онъ пострадалъ отъ нападенія противниковъ своей партіи; внесъ это предложеніе Аристіонъ. Получивъ такъ называемыхъ дубинщиковъ, онъ вмѣстѣ съ ними возсталъ противъ общины, завладѣлъ акрополемъ въ тридцать второй годъ послѣ законодательства, при архонтѣ Комеѣ. Разсказываютъ, будто, когда Писистратъ требовалъ охраны, Солонъ возражалъ, говоря, что онъ—Солонъ—однихъ умнѣе, а другихъ храбрѣе: умнѣе тѣхъ, кто не знаетъ, что Писистратъ замышляетъ тираннію, храбрѣе же тѣхъ, кто, понимая это, молчатъ. Не убѣдивъ словомъ, Солонъ вынесъ себѣ свои доспѣхи и сложилъ ихъ передъ дверьми, сказавъ, что, насколько могъ, онъ пришелъ на помощь отечеству (былъ же онъ уже очень старъ), но что онъ желалъ бы, чтобы и другіе сдѣлали тоже самое. Солонъ однако ничего не добился тогда своими увѣщаніями, Писистратъ же, принявъ власть въ свои руки, завѣдывалъ общественными дѣлами скорѣе согласно государственнымъ установленіямъ, чѣмъ по произволу. Не успѣла его власть еще пустить корней, какъ партіи Мегакла и Ликурга соединились и изгнали его, на шестой годъ послѣ перваго установленія его власти, при архонтѣ Игисіи. На двѣнадцатый же годъ послѣ этого Мегаклъ, тѣснимый раздорами, опять вступилъ въ сношенія съ Писистратомъ и подъ тѣмъ условіемъ, что тотъ женится на его дочери, привелъ его обратно патріархальнымъ, весьма наивнымъ способомъ. Онъ распространилъ слухъ, что Аѳина

τῆς Ἀθηνᾶς καταγούσης Πεισίστρατον καὶ [57]) γυναῖκα μεγάλην καὶ καλὴν ἐξευρών, ὡς μὲν Ἡρόδοτός φησιν, ἐκ τοῦ δήμου τῶν Παιανιέων, ὡς δ' ἔνιοι λέγουσιν, ἐκ τοῦ Κολλυτοῦ στεφανόπωλιν Θρᾷτταν, ᾗ ὄνομα Φύη, τὴν θεὸν ἀπομιμησάμενος τῷ κόσμῳ [συγκα]τήγαγε[ν][58]) μετ' αὐτοῦ, καὶ ὁ μὲν Πεισίστρατος ἐφ' ἅρματος εἰσήλαυνε παραιβατούσης τῆς γυναικός, οἱ δ' ἐν τῷ ἄστει προσκυνοῦντες ἐδέχοντο θαυμάζοντες.

XV. ἡ μὲν οὖν πρώτη κάθοδος ἐ[γέν]ετο τοιαύτη. μετὰ δὲ ταῦτ' ἐξέπεσε [59]) τὸ δεύτερον ἔτει μάλιστα ἑβδόμῳ μετὰ τὴν κάθοδον· οὐ γὰρ πολὺν χρόνον κατεῖχεν, ἀλλὰ διὰ τὸ μὴ βούλεσθαι τῇ τοῦ Μεγακλέους
2 θυγατρὶ συγγίνεσθαι φοβηθεὶς ἀμφοτέρας τὰς στάσεις ὑπεξῆλθεν. καὶ πρῶτον μὲν συνῴκισε περὶ τὸν Θερμαῖον κόλπον χωρίον ὃ καλεῖται Ῥαίκηλος, ἐκεῖθεν δὲ παρῆλθεν εἰς τοὺς περὶ Πάγγαιον τόπους, ὅθεν χρηματισάμενος καὶ στρατιώτας μισθωσάμενος, ἐλθὼν εἰς Ἐρέτριαν ἐνδεκάτῳ πάλιν ἔτει τό<τε> πρῶτον ἀνασώσασθαι βίᾳ τὴν ἀρχὴν ἐπεχείρει, συμπροθυμουμένων αὐτῷ πολλῶν μὲν καὶ ἄλλων, μάλιστα δὲ
3 Θηβαίων καὶ Λυγδάμιος τοῦ Ναξίου, ἔτι δὲ τῶν ἱππέων τῶν ἐχόν-
pag. VI. των ἐν Ἐρετρίᾳ τὴν πολιτείαν. ‖ νικήσας δὲ τὴν ἐπὶ Παλληνίδι [μάχη]ν καὶ λαβὼν [τὴν ἀρχὴ]ν καὶ παρελόμενος τοῦ δήμου τὰ ὅπλα κατεῖχεν ἤδη τὴν τυραννίδα βεβαίως· καὶ γὰρ [60]) Νάξον ἑλὼν ἄρχοντα
4 κατέστησε Λύγδαμιν. παρείλε[το] δὲ τοῦ δήμου τὰ ὅπλα τόνδε τὸν τρόπον· ἐξοπλασίαν [61]) ἐν τ[ῷ] Θησείῳ ποιησάμενος ἐκκλησιάζειν ἐπεχείρει, [τῆς δὲ φωνῆς ἐχάλ]ασεν [62]) μικρόν· οὐ φασκόντων δὲ κατακούειν ἐκέλευσεν αὐτοὺς προσαν[α]βῆ[ναι] πρὸς τὸ πρόπυλον τῆς ἀκροπόλεως, ἵνα γεγώνῃ μᾶλλον. ἐν ᾧ δ' ἐκεῖνος διέτριβε δημηγορῶν, ἀνελόντες οἱ ἐπὶ τοῦτῳ τεταγμένοι τὰ ὅπλα αὐτῶν [καὶ κατα]κλήσαντες εἰς [τὰ] πλησίον οἰκήματα τοῦ Θησείου διεσήμηναν ἐλθόντες
5 πρὸς τὸν Πεισίστρατον. ὁ δὲ [ἐπεὶ τ]ὸν ἄλλον λόγον ἐπετέλεσεν, εἶπε καὶ περὶ τῶν ὅπλων τὸ γεγονός [ὡς οὐ] χρὴ θαυμάζειν οὐ[δ' ἀ]θυμεῖν, ἀλλ' ἀπελθόντας ἐπὶ τῶν ἰδίων εἶναι, τῶν δὲ κοινῶν [αὐτὸς ἐπι]μελήσεσθαι πάντων.

---

[57]) Ka. 155 delendum censet.
[58]) Ka. 155; S. συν[εισή]γαγε[ν] H.-L. et K. secutus.
[59]) Ka. 155—156; S. ταῦτα ὡς ἐξέπεσε K et Bl. secutus.
[60]) Ka. 156—157; S. καὶ Νάξον (K., Bl.)
[61]) Ka. 157; S. ἐξοπλισίαν.
[62]) Sic S. incerto Conti supplemento accepto.

ведетъ Писистрата назадъ и, найдя высокую и красивую женщину, какъ говоритъ Иродотъ, изъ дима Пэаніи, какъ нѣкоторые иные говорятъ, Ѳракіянку, продавщицу вѣнковъ изъ Коллита, по имени Фію, и, скопировавъ въ ея нарядѣ одѣяніе богини, онъ ввелъ ее въ городъ вмѣстѣ съ нимъ, и вотъ Писистратъ въѣзжалъ на колесницѣ, а рядомъ съ нимъ стояла эта женщина, горожане же принимали ихъ въ изумленіи, падая предъ ними ницъ.

XV. Первое возвращеніе Писистрата произошло вышеизложеннымъ образомъ. Послѣ этого онъ снова долженъ былъ бѣжать, не позже, чѣмъ на седьмой годъ по возвращеніи. Онъ удержался во власти недолго, такъ какъ вслѣдствіе нежеланія его вступить въ супружескія сношенія съ дочерью Мегакла, онъ, страшась и той и другой партіи, принужденъ былъ незамѣтно удалиться. Сначала поселился онъ около Ѳермэйскаго залива въ мѣстности, которая называется Рэкиломъ, оттуда же перешелъ въ мѣста около Пангэя; здѣсь онъ добылъ денегъ и, нанявъ солдатъ, пришелъ въ Еретрію и опять на одиннадцатый годъ попытался—теперь впервые уже силою—вернуть себѣ власть. Доброхотовъ у него было много, въ особенности ѳивяне и наксіецъ Лигдамъ, а также и всадники, державшіе въ своихъ рукахъ политическую власть въ Еретріи. Побѣдивъ въ битвѣ при Паллинидѣ онъ завладѣлъ властью и, отнявъ у народа оружіе, уже удерживалъ тираннію безъ опасеній. Также завоевалъ онъ и Наксъ и поставилъ тамъ правителемъ Лигдама. Отнялъ же оружіе у народа онъ слѣдующимъ образомъ. Назначивъ въ Ѳисіонѣ гражданамъ собраться на смотръ оружія, онъ началъ говорить имъ рѣчь, но немного поумѣрилъ голосъ. Когда ему сказали, что не слышно, что онъ говоритъ, онъ предложилъ имъ приподняться къ предверію акрополя, чтобы было слышнѣе. Пока онъ здѣсь продолжалъ свою рѣчь къ народу, особо для этого назначенные люди забрали оружіе народа, заперли его въ ближайшихъ пристройкахъ Ѳисіона, пришли потомъ къ Писистрату и дали ему объ этомъ знать. Онъ же закончилъ начатую рѣчь и затѣмъ разсказалъ, что случилось съ оружіемъ, съ тѣмъ, чтобы они однако этому не дивились и не падали бы духомъ, но разошлись по домамъ и занялись, каждый своими собственными дѣлами, такъ какъ обо всѣхъ общественныхъ уже онъ самъ будетъ заботиться.

XVI. [ἡ μὲν οὖν Πει]σιστράτου τυραννὶς ἐξ ἀρχῆς τε κατέστη
2 [τοῦτον] τὸν τρόπον καὶ [μεταβο]λὰς ἔσχεν τοσαύτας. διῴκει δ' ὁ Πεισίστρατος, ὥσπερ εἴρηται [τὰ κατὰ] τὴν πόλιν μετρίως καὶ μᾶλλον πολιτικῶς ἢ τυραννικῶς· ἔν τε γὰρ τοῖς ἄλλοις [φι]λάνθρωπος ἦν καὶ πρᾶος [63]) καὶ τοῖς ἁμαρτάνουσι συγγνωμονικός, καὶ δὴ καὶ τοῖς ἀ[πό]ροι[ς] προεδάνειζε χρ[ήμα]τα πρὸς τὰς ἐργασίας, ὥστε διατρέ-
3 φεσθαι γεωργοῦντας. τοῦτο δ' ἐποίει δυοῖν [χά]ριν, ἵν[α] μήτε ἐν τῷ ἄστει διατρίβωσιν ἀλλὰ διεσπαρμένοι κατὰ τὴν χώραν, καὶ ὅπως [εὐ-πο]ροῦντες τῶν μετρίων καὶ πρὸς τοῖς [ἰ]δίοις ὄντες μήτ' ἐπιθυμῶσι
4 μήτε σχολάζ[ωσιν] ἐπιμελεῖσθαι τῶν κοινῶν. ἅμα δὲ συνέβαινεν αὐτῷ καὶ τὰς προσόδους γίνεσθαι μ[ειζο]υς ἐξεργαζομένης τῆς χώρας·
5 ἐπράττετο γὰρ ἀπὸ τῶν γιγνομένων δεκάτην. διὸ καὶ τοὺς κατὰ [δή μ]ους κατεσκεύασε δικαστὰς καὶ αὐτὸς ἐξῄει πολλάκις εἰς τὴν χώραν ἐπισκοπῶν [καὶ] διαλ[ύ]ων τοὺς διαφερομένους, ὅπως μὴ καταβαίνον-
6 τες εἰς τὸ ἄστυ παραμελῶσι τῶν [ἀγρ]ῶν. τοιαύτης γάρ τινος ἐξόδου τῷ Πεισιστράτῳ γιγνομένης συμβῆναί φασι τὰ περὶ τὸν ἐν τῷ [Ὑμη]τῷ γεωργοῦντα τὸ κληθὲν ὕστερον χωρίον ἀτελές. ἰδὼν γάρ τινα πα[ττά]λω πέτρας [64]) σκάπτοντα καὶ ἐργαζόμενον, διὰ τὸ θαυμάσαι [65]) τὸν πα[ῖδα] ἐκέλευεν [ἐρ]έσθαι τί γίγνεται ἐκ τοῦ χωρίου· ὁ δ' ὅσα κακὰ καὶ ὀδύναι' ἔφη, 'καὶ τούτων τῶν κακῶν καὶ ⟦τῶν⟧ [66]) [ὀ]δυ-
νῶν Πεισίστρατον δεῖ λαβεῖν τὴν δεκάτην'. ὁ μὲν οὖν ἄνθρωπος [ἀ]-πε[κρί]νατο ἀγνοῶν, ὁ δὲ Πεισίστρατος ἡσθεὶς διὰ τὴν παρρησίαν καὶ
7 τὴν φιλεργίαν [ἀ]τελῆ ἁπάντων ἐποίησεν αὐτόν. οὐδὲν δὲ τὸ πλῆθος οὐδ' ἐν τοῖς ἄλλοις παρώχλει κατὰ τὴν ἀρχήν, ἀλλ' αἰεὶ π[α]-ρεσκ[εύ]αζεν εἰρήνην καὶ ἐ[τ]ήρει τὴν ἡσυχίαν· διὸ καὶ πολλάκις ἐθ[ρυ]λλ[εῖ]το [67]), ὡς ἡ Πεισιστράτου τυραννὶς ὁ ἐπὶ Κρόν[ου] βίος εἴη· συνέβη γὰρ ὕστερον δια[δεξαμένων] τῶν υἱέων πολλῷ γενέσθαι
8 τραχυτέραν τὴν ἀρχήν. μέγιστον δὲ πάντων ἦν τῶν ἐ[παινου]μένων τὸ δημοτικὸν εἶναι τῷ ἤθει καὶ φιλάνθρωπον. ἔν τε γὰρ τοῖς ἄλλοι[ς προῃρεῖτο] πάντα διοικεῖν κατὰ τοὺς νόμους, οὐδεμίαν ἑαυτῷ πλεονεξίαν διδ[ούς, καί ποτ]ε προσκληθεὶς φόνου δίκην εἰς Ἄρειον πά-

---

[63]) Ka. 158; S. πρᾶος.
[64]) S. secutus K.; quae Ka. 160 sensu carere affirmat.
[65]) S. uncis seclusit διὰ τὸ θαυμάσαι secutus K.-W; cf. Ka. 27. 160.
[66]) Secl. K.-W. cf. Ka. 160.
[67]) Sic S. coniectura Bl. accepta; pro ἐθ[ρυ]λεῖτο. Suspectum; cf. Ka. 160—161.

XVI. Итакъ тираннія Писистрата установилась первоначально вышеизложеннымъ образомъ и испытала такого рода перемѣны. Управлялъ же Писистратъ, какъ сказано, дѣлами городской общины умѣренно и скорѣе по государственнымъ установленіямъ, чѣмъ по произволу. Онъ былъ вообще человѣколюбивъ и мягокъ, снисходителенъ съ погрѣшавшими въ чемъ-либо и, ко всему тому, ссужалъ бѣдныхъ деньгами на нужды по хозяйству, чтобы они могли прокормиться земледѣліемъ. При этомъ онъ преслѣдовалъ двѣ цѣли: съ одной стороны, чтобы они не проживали въ городѣ, но разсѣянные по странѣ, съ другой, чтобы, пользуясь умѣреннымъ достаткомъ и занимаясь каждый своимъ дѣломъ, они не имѣли ни охоты, ни времени, чтобы заботиться объ общественныхъ дѣлахъ. Къ тому же и ему приходилось получать больше доходу при полной обработкѣ всей области; дѣло въ томъ, что онъ взималъ десятину съ урожая. Поэтому-то онъ и учредилъ особыхъ судей по димамъ и самъ часто отправлялся за городъ для надзора и рѣшенія споровъ, чтобы приходя въ городъ, земледѣльцы не забрасывали своихъ полей. Во время одного подобнаго выхода случилась съ Писистратомъ извѣстная исторія съ крестьяниномъ на Иметтѣ, который обработывалъ позже названный «свободнымъ отъ налоговъ» участокъ. Видя, что какой-то человѣкъ деревяннымъ колкомъ копаетъ и распахиваетъ скалы, онъ въ изумленіи приказалъ отроку спросить, что родится въ этомъ участкѣ. Земледѣлецъ отвѣтилъ: «горе и огорченія въ изобиліи и отъ этого горя и огорченія Писистратъ долженъ получать десятину». Такъ отвѣтилъ человѣкъ этотъ по незнанію, Писистрату же понравилось его свободорѣчіе и трудолюбіе, и онъ освободилъ его отъ всѣхъ поборовъ. Онъ не утруждалъ народа ни въ чемъ во время своего управленія, но всегда заботился о мирѣ и охранялъ спокойствіе: потому-то часто и говорилось, что время правленія Писистрата было Кроновымъ вѣкомъ: позже вѣдь, когда сыновья его приняли власть, управленіе сдѣлалось гораздо болѣе суровымъ. Болѣе же всего хвалили его за то, что онъ по характеру своему былъ доступенъ и для простого народа, и гуманенъ. Онъ поставилъ себѣ правиломъ во всемъ управлять согласно законамъ и ни въ чемъ не давать себѣ преимуществъ. Однажды, напримѣръ, призванный предъ Ареопагъ по процессу объ

γ[ον] αὐτὸς μὲν ἀπήντησεν ὡς [ἀπολο]γησόμενος, ὁ δὲ προσκαλεσάμε-
9 νος φοβηθεὶς ἔλιπεν. διὸ καὶ πολὺν χρόνον ἔμεινεν <ἐν> [τῇ ἀρχῇ, καὶ] ὅτ' ἐκπέσοι πάλιν ἀνελάμβανε ῥᾳδίως. ἐβούλοντο γὰρ καὶ τῶν γνωρίμων καὶ τῶν [δημο]τικῶν οἱ πολλοί· τοὺς μὲν γὰρ ταῖς ὁμιλίαις τοὺς δὲ ταῖς εἰς τὰ ἴδια βοηθείαις προ[σ]ήγετο, καὶ πρὸς ἀμφοτέρους
10 ἐπεφύκει καλῶς. ἦσαν δὲ καὶ τοῖς Ἀθηναίοις οἱ περὶ τῶν [τυ]ράννων νόμοι πρᾷοι κατ' ἐκείνους τοὺς καιροὺς οἵ τ' ἄλλοι καὶ δὴ καὶ ὁ μάλιστα καθήκων πρὸς τὴν <κατάστασιν> τῆς τυραννίδος. νόμος γὰρ αὐτοῖς ἦν ὅδε 'θέσμια τάδε Ἀθηναί[οις κατὰ τὰ] [68]) πάτρια· ἐάν [τιν]ες τυραννεῖν ἐπανιστῶ[ν]ται [[ἐπὶ τυραννίδι]] ἢ συγκαθιστῇ τὴν τυραννίδα [69]), ἄτιμο[ν εἶναι καὶ] αὐτὸν καὶ γένος'.

XVII. Πεισίστρατος μὲν οὖν ἐγκατεγήρασε τῇ ἀρχῇ καὶ ἀπ[έθ]ανε νοσήσα[ς ἐπὶ] Φιλόνεω ἄρχοντος, ἀφ' οὗ μὲν κατέστη τὸ πρῶτον
2 τύραννος ἔτη τριά[κο]ν[τ]α καὶ τρία βιώσας, ἃ δ' ἐν τῇ ἀρχῇ διέμεινεν ἐνὸς δέοντα εἴκοσι· ἔφ[ευγ]εν γὰρ τὰ λοιπά. διὸ καὶ φανε-
pag. ρῶς [70]) ληροῦσιν <οἱ> φάσκοντες || ἐρώμενον εἶναι Πεισίστρατον
VII. Σόλωνος καὶ στρατηγεῖν ἐν τῷ πρὸς Μεγαρέας πολέμῳ περὶ Σαλαμῖνος· οὐ γὰρ ἐνδέχεται ταῖς ἡλικίαις, ἐάν τις ἀναλογίζηται τὸν ἑκα-
3 τέρου βίον καὶ ἐφ' οὗ ἀπέθανεν ἄρχοντος. τελευτήσαντος δὲ Πεισιστράτου, κατεῖχον οἱ υἱεῖς τὴν ἀρχήν, προάγοντες τὰ πράγματα τὸν αὐτὸν τρόπον. ἦσαν δὲ δύο μὲν ἐκ τῆς γαμετῆς, Ἱππίας καὶ Ἵππαρχος, δύο δ' ἐκ τῆς Ἀργείας, Ἰοφῶν καὶ Ἡγησίστρατος, ᾧ παρωνύ-
4 μιον ἦν Θέττα[λος [71]). ἔγημην [72]) γὰρ Πεισίστρατος ἐξ Ἄργους ἀνδρὸς Ἀργείου θυγατέρα, ᾧ ὄνομα ἦν Γοργίλος, Τιμώνασσαν, ἣν πρότερον ἔσχεν γυναῖκα Ἀρχῖνος ὁ Ἀμπρακιώτης τῶν Κυψελιδῶν· ὅθεν καὶ ἡ πρὸς τοὺς Ἀργείους ἐνέστη φιλία, καὶ συνεμαχέσαντο χίλιοι τὴν ἐπὶ Παλληνίδι μάχην Ἡγησιστράτου κομίσαντος. γῆμαι δέ φασι τὴν Ἀργείαν οἱ μὲν ἐκπεσόντα τὸ πρῶτον, οἱ δὲ κατέχοντα τὴν ἀρχήν.

XVIII. ἦσαν δὲ κύριοι μὲν τῶν πραγμάτων διὰ τὰ ἀξιώματα καὶ διὰ τὰς ἡλικίας Ἵππαρχος καὶ Ἱππίας, πρεσβύτερος δὲ ὢν ὁ Ἱππίας καὶ τῇ φύσει πολιτικὸς καὶ ἔμφρων ἐπεστάτει τῆς ἀρχῆς. ὁ δὲ Ἵπ-

---

[68]) Ka. 162—163; S. καὶ πάτρια. Cf. W.-M. II, 43 n. 15.
[69]) Ka. 164—165; S. ἢ τὴν τυραννίδα τις συκγαθιστῇ.
[70]) W.-M I, 269 nescio qua de causa περιφανῶς.
[71]) Ka. 166; S. Θετταλός.
[72]) Sic S. papyrum secutus; Ka. vult ἐπέγημεν l c. W.-M. I 111 n. 19.

убійствѣ, онъ явился по зову для защиты, обвинитель же испугался и не пришелъ. Поэтому-то онъ и удержался долгое время во власти и, если изгонялся, то легко добивался власти, такъ какъ ее желало большинство, какъ знатныхъ, такъ и изъ простонародья. Иныхъ онъ сумѣлъ привести на свою сторону своимъ обхожденіемъ съ ними, другимъ помогалъ въ ихъ личныхъ дѣлахъ, и, такимъ образомъ, ладилъ и съ тѣми и съ другими. Кромѣ того въ эту пору у аѳинянъ были какъ вообще законы относительно тиранніи мягки, такъ въ особенности законъ объ установленіи тиранніи. Этотъ законъ гласилъ такъ: «Таково по примѣру предковъ установленіе аѳинянъ: буде кто возстанетъ, чтобы сдѣлаться тираномъ, либо установитъ тираннію, то лишается гражданскихъ правъ какъ самъ онъ, такъ и родъ его».

XVII. Итакъ Писистратъ дожилъ до старости, оставаясь во власти и умеръ отъ болѣзни при архонтѣ Филонеѣ, проживъ со времени установленія своей тиранніи тридцать три года, изъ коихъ власть находилась въ его рукахъ въ теченіи девятнадцати лѣтъ; остальное время онъ находился въ изгнаніи. Отсюда можно заключить, что очевидно это лишь пустая болтовня, если говорятъ, будто Писистратъ былъ любимъ Солономъ, и въ качествѣ стратига участвовалъ въ войнѣ съ мегарянами изъ-за Саламина. Это невозможно въ виду разницы въ возрастѣ, если кто приметъ въ разсчетъ, какъ они оба жили и при какомъ архонтѣ Писистратъ умеръ. Послѣ смерти Писистрата сыновья приняли власть, поведя дѣла впередъ въ томъ же духѣ. Изъ нихъ двое были отъ законной супруги, Иппія и Иппархъ, двое отъ аргивянки, Іофонтъ и Игисистратъ, прозванный Ѳетталомъ. Дѣло въ томъ, что Писистратъ взялъ себѣ изъ Аргоса въ жены Тимонассу, дочь аргивянина, звавшагося Горгиломъ, ранѣе бывшую въ замужествѣ за Архиномъ изъ рода Кипселидовъ; отсюда-то и началась его дружба съ аргивянами, и изъ нихъ тысяча человѣкъ помогали ему въ битвѣ при Паллинидѣ, приведенные на помощь Игисистратомъ. Бракъ его съ аргивянкою, по времени, одними относится къ первому его изгнанію, другими—ко времени тиранніи.

XVIII. Управленіе государствомъ, и по праву рожденія, и по возрасту, находилось въ рукахъ Иппарха и Иппіи. Иппія былъ старше, и, по природному складу, человѣкъ способный къ управленію и умный, вслѣдствіе чего вся власть и находилась въ его рукахъ. Иппархъ былъ изнѣ-

παρχος παιδιώδης καὶ ἐρωτικὸς καὶ φιλόμουσος ἦν. καὶ τοὺς περὶ
Ἀνακρέοντα καὶ Σιμωνίδην καὶ τοὺς ἄλλους ποιητὰς οὗτος ἦν ὁ με-
2 ταπεμπόμενος· Θέτταλος δὲ νεώτερος πολὺ καὶ τῷ βίῳ θρασὺς καὶ
ὑβριστής, ἀφ' οὗ καὶ συνέβη τὴν ἀρχὴν αὐτοῖς γενέσθαι πάντων τῶν
κακῶν. ἐρασθεὶς γὰρ τοῦ Ἁρμοδίου καὶ διαμαρτάνων τῆς πρὸς αὐτὸν
φιλίας, οὐ κατεῖχε τὴν ὀργήν, ἀλλ' ἔν τε τοῖς ἄλλοις ἐνεσημαίνετο
πικ[ρ]ῶς καὶ τὸ τελευταῖον μέλλουσαν αὐτοῦ τὴν ἀδελφὴν κανηφο-
ρεῖν Παναθηναίοις ἐ[κώ]λυσεν, λοιδορήσας τι τὸν Ἁρμόδιον ὡς μα-
λακὸν ὄντα, ὅθεν συνέβη παροξυνθέντα τὸν Ἁρμόδιον καὶ τὸν Ἀρισ-
3 τογείτονα πράττειν τὴν πρᾶξιν μετεχόντων πολλῶν// ἤδη δὲ [παρατη]-
ροῦντες ἐν ἀκροπόλει τοῖς Παναθηναίοις Ἵππίαν (ἐτύγχανεν γὰρ οὗ-
τος μὲν [ὁ]εχόμενος, ὁ δ' Ἵππαρχος ἀποστέλλων τὴν πομπήν), ἰδόν-
τες τινὰ τῶν κοινωνούντων τῆς πρά[ξ]εως φιλανθρώπως ἐντυγχάνοντα
τῷ Ἱππίᾳ καὶ νομίσαντες μηνύειν, βουλομενοί τι δρᾶσαι πρὸ τῆς συλ-
λήψεως, καταβάντες καὶ προεξαναστάντες τῶν [λοιπῶν], τὸν μὲν Ἵπ-
παρχον διακ[οσ]μοῦντα τὴν πομπὴν παρὰ τὸ Λεωκόρειον ἀπέκτειναν,
4 τὴν [δ' ὅλ]ην ἐλυμήναντο πρᾶξιν. αὐτῶν γὰρ ὁ μὲν Ἁρμόδιος εὐθέ-
ως ἐτελεύτησεν ὑπὸ τῶν δ[ορυφόρ]ων, ὁ δ' Ἀριστο[γε]ίτων ὕστερον
συλληφθεὶς καὶ πολὺν χρόνον αἰκισθείς. κατηγόρησεν δ' ἐν [τ]αῖς
ἀνάγκαις πολλῶν οἳ καὶ [τῇ] φύσει τῶν ἐπιφανῶν καὶ φίλοι τοῖς τυ-
ράννοις ἦσαν. οὐ [γὰρ ἐ]δύναντο παραχρῆμα λαβεῖν οὐδὲν ἴχνος τῆς
πράξεως, ἀλλ' ὁ λεγόμενος λόγος ὡς ὁ Ἱππίας ἀποστήσας ἀπὸ τῶν
ὅπλων τοὺς πομπεύοντας ἐφώρασεν τοὺς τὰ ἐγχειρίδια ἔχοντας οὐκ
ἀληθής ἐστιν· οὐ γὰρ ἔπεμπον τό<τε> μεθ' ὅπλων, ἀλλ' ὕστερον
5 τοῦτο κατεσκεύασεν ὁ δῆμος// κατηγόρει δὲ τῶν τοῦ τυράννου φίλων,
ὡς μὲν οἱ δημοτικοί φασιν, ἐπίτηδες ἵνα ἀσεβήσαιεν ἅμα καὶ γένοιν-
το ἀσθενεῖς ἀνελόντες τοὺς ἀναιτίους καὶ φίλους ἑαυτῶν, ὡς δ' ἔνιοι
6 λέγουσιν, οὐχὶ πλαττόμενος ἀλλὰ τοὺς συνειδότας ἐμήνυεν. καὶ τέλος
ὡς οὐκ ἠδύνατο [73]) πάντα ποιῶν ἀποθανεῖν, ἐπαγγειλάμενος ὡς ἄλ-
λους μηνύσων πολλούς, καὶ πείσας αὐτῷ τὸν Ἱππίαν δοῦναι τὴν δεξιὰν
πίστεως χάριν, ὡς ἔλαβεν ὀνειδίσας ὅτι τῷ φονεῖ τἀδελφοῦ [74]) τὴν
δεξιὰν δέδωκε [75]) οὕτω παρώξυνε τὸν Ἱππίαν ὥσθ' ὑπὸ τῆς ὀργῆς οὐ
κατεῖχεν ἑαυτὸν ἀλλὰ σπασάμενος τὴν μάχαιραν διέφθειρεν αὐτόν.

---

[73]) ἐδύνατο S.
[74]) τοῦ ἀδελφοῦ S.
[75]) δέδωκεν S.

женъ, влюбчивъ и другомъ искусствъ; это онъ приглашалъ въ городъ Анакреонта, Симонида и другихъ поэтовъ. Θеталъ былъ гораздо моложе, въ поведеніи своемъ пылокъ и любилъ насиліе, и онъ-то послужилъ причиною всѣхъ послѣдующихъ бѣдствій для Писистратидовъ. Влюбившись въ Армодія и не добившись взаимности, онъ не сдержалъ гнѣва, далъ ему неоднократно горько почувствовать его, и наконецъ, помѣшалъ назначенію его сестры въ число канифоръ на праздникъ Панаѳинэй, оскорбивъ при этомъ Армодія обвиненіемъ его въ безнравственной жизни. Армодій былъ раздраженъ этимъ и, вмѣстѣ съ Аристигитономъ, они принялись за дѣло при участіи многихъ другихъ. Они уже подстерегали въ акрополѣ Иппію (онъ принималъ, а Иппархъ отправлялъ процессію), какъ вдругъ они замѣтили, что одинъ изъ соучастниковъ заговора любезно бесѣдуетъ съ Иппіею. Думая, что онъ доноситъ, они пожелали, хоть что-нибудь сдѣлать раньше, чѣмъ ихъ схватятъ: спустившись раньше остальныхъ, они устремились къ исполненію намѣренія и убили Иппарха, производившаго смотръ процессіи у Леокоріона, но тѣмъ самымъ испортили все дѣло. Самъ Армодій сейчасъ же былъ убитъ копьеносцами, Аристогитонъ же погибъ потомъ, заточенный и послѣ долгихъ пытокъ. Подвергнутый пыткѣ, онъ оговорилъ многихъ знатныхъ по происхожденію и друзей самихъ-же тирановъ. Дѣло, вѣдь, въ томъ, что тотчасъ-же не удалось найти никакихъ слѣдовъ заговора. Передаваемое извѣстіе, будто Иппія велѣлъ участникамъ процессіи отложить въ сторону оружіе и такъ открылъ тѣхъ, кто имѣли при себѣ кинжалы, невѣрно: въ то время не ходили на процессію съ оружіемъ, а уже потомъ народъ ввелъ этотъ обычай. Обвиненіе друзей тиранна было сдѣлано Аристогитономъ, по димократической версіи, нарочно, чтобы враги его, одновременно, и грѣхъ совершили и лишились своего могущества, погубивъ людей ни въ чемъ неповинныхъ, притомъ своихъ же друзей; нѣкоторые-же говорятъ, что онъ не выдумывалъ, но дѣйствительно назвалъ сообщниковъ. Такъ какъ несмотря на все это ему не удалось добиться казни, онъ заявилъ, что онъ собирается и о многихъ другихъ еще донести, и убѣдилъ Иппію дать ему руку въ знакъ довѣрія. Когда-же тотъ подалъ ему ее, онъ осмѣялъ его, что вотъ убійцѣ брата своего онъ подаетъ руку, и этимъ такъ раздражилъ Иппію, что послѣдній не сдержалъ себя въ гнѣвѣ, выхватилъ мечъ и убилъ его.

ПАВЛА ИВАНОВИЧА БЕЮЛЬ.

XIX. μετὰ δὲ ταῦτα συνέβαινεν πολλῷ τραχυτέραν εἶναι τὴν τυραννίδα· καὶ γὰρ διὰ τὸ τιμωρεῖν τἀδελφῷ [76]) καὶ διὰ τὸ πολλοὺς
2 ἀνῃρηκέναι καὶ ἐκβεβληκέναι πᾶσιν ἦν ἄπιστος καὶ πικρός. ἔτει δὲ τετάρτῳ μάλιστα μετὰ τὸν Ἱππάρχου θάνατον, ἐπεὶ κακῶς εἶχεν τὰ ἐν τῷ ἄστει, τὴν Μουνιχίαν ἐπεχείρησε τειχίζειν, ὡς ἐκεῖ [77]) μεθιδρυσόμενος. ἐν τούτοις δ' ὢν ἐξέπεσεν ὑπὸ Κλεομένους τοῦ Λακεδαιμονίων βασιλέως, χρησμῶν γινομένων ἀεὶ τοῖς Λάκωσι καταλύειν τὴν
3 τυραννίδα διὰ τοιάνδ' α[ἰτίαν]. οἱ φυγάδες, ὧν οἱ Ἀλκμεωνίδαι προειστήκεσαν, αὐτοὶ μὲν δι' αὐτῶν οὐκ ἠδύναντο [78]) ποιήσασθαι τὴν
pag. κάθοδον, ἀλλ' αἰεὶ προσέπταιον· ‖ ἔν τε γὰρ τοῖς ἄλλοις οἷς ἔπρατ-
VIII. τον διεσφάλλοντο καὶ τειχίσαντες ἐν τῇ χώρᾳ Λειψύδριον τὸ ὑπὲρ Πάρνηθος, εἰς ὃ συνεξῆλθόν τινες τῶν ἐκ τοῦ ἄστεως, ἐξεπολιορκήθησαν ὑπὸ τῶν τυράννων, ὅθεν ὕστερον εἰς [79]) ταύτην τὴν συμφορὰν ἦδον ἐν τοῖς σκολίοις [[αἰεί]]·

αἰαῖ Λειψύδριον προδωσέταιρον,
οἵους ἄνδρας ἀπώλεσας μάχεσθαι
ἀγαθούς τε καὶ εὐπατρίδας,
οἳ τότ' ἔδειξαν οἵων πατέρων ἔσαν.

4 ἀποτυγχάνοντες οὖν ἐν ἅπασι τοῖς ἄλλοις ἐμισθώσαντο τὸν ἐν Δελφοῖς νεὼν οἰκοδομεῖν, ὅθεν εὐπόρησαν χρημάτων [80]) πρὸς τὴν τῶν Λακώνων βοήθειαν. ἡ δὲ Πυθία προὔφερεν αἰεὶ τοῖς Λακεδαιμονίοις χρηστηριαζομένοις ἐλευθεροῦν τὰς Ἀθήνας εἰς τοῦθ' ἕως προὔτρεψε τοὺς Σπαρτιάτας, καίπερ ὄντων ξένων αὐτοῖς τῶν Πεισιστρατιδῶν· συνεβάλλετο δὲ οὐκ ἐλάττω μοῖραν τῆς ὁρμῆς τοῖς Λάκωσιν ἡ πρὸς
5 τοὺς Ἀργείους τοῖς Πεισιστρατίδαις ὑπάρχουσα φιλία. τὸ μὲν οὖν πρῶτον Ἀγχίμολον ἀπέστειλαν κατὰ θάλατταν ἔχοντα στρατιάν. ἡττη[θέν]τος δ' αὐτοῦ καὶ τελευτήσαντος διὰ τὸ Κινέαν βοηθῆσαι τὸν Θεσσαλὸν [81]) ἔχοντα χιλίους ἱππεῖς, προσοργισθέντες τῷ γενομένῳ, Κλεομένην ἐξέπεμψαν τὸν βασιλέα στόλον ἔχοντα μείζω κατὰ γῆν, ὃς ἐπεὶ τοὺς τῶν Θεσσαλῶν ἱππεῖς ἐνίκησεν κωλύοντας αὐτὸν εἰς τὴν Ἀττι-

---

[76]) τῷ ἀδελφῷ S.
[77]) ἐκεῖσε S.
[78]) ἐδύναντο S.
[79]) K.-W., Bl. ex Etym Mag. 361,33. S. μετὰ papyrum secutus.
[80]) Ka. 168—169 lacunam indicat eamque explet <καὶ ἀνέπεισαν τὴν Πυθίαν συνεργεῖν ἑαυτοῖς>
[81]) Θετταλὸν S. Infra idem Θετταλῶν.

XIX. Послѣ этого тираннія стала гораздо суровѣе. Такъ какъ Иппія мстилъ теперь за брата и многихъ казнилъ и изгналъ, всѣ на него стали смотрѣть съ недовѣріемъ и съ ожесточеніемъ. Не болѣе какъ на четвертый годъ послѣ смерти Иппарха, онъ, въ виду ухудшенія положенія дѣлъ въ городѣ, попытался укрѣпить Мунихію съ намѣреніемъ переселиться туда. Когда онъ былъ занятъ этими планами, его изгналъ Клеоменъ, царь лакедэмонянъ, побужденный къ тому изреченіями оракула, требовавшаго, чтобы лаконцы уничтожили тираннію. Эти требованія безпрерывно обращались къ нимъ по слѣдующей причинѣ. Изгнанники, во главѣ которыхъ стояли Алкмеониды, сами по себѣ не въ состояніи были добиться возвращенія и постоянно терпѣли неудачи. Имъ несчастливилось, какъ въ другихъ ихъ предпріятіяхъ, такъ въ особенности, когда они укрѣпились въ мѣстечкѣ Липсидріонѣ на Парнивѣ, куда собрались нѣкоторые изъ горожанъ, но послѣ осады были изгнаны тиранами, такъ что, по поводу этого несчастія, пѣли въ застольныхъ пѣсняхъ:

Горе намъ! о, Липсидріонъ предатель,
Какъ сгубилъ ты мужей въ бою отважныхъ,
Знаменитый отцовъ славой родъ,
Здѣсь же сумѣвшій самъ честь поддержать отцовъ.

Итакъ потерпѣвъ во всемъ другомъ неудачу, они подрядились построить въ Дельфахъ храмъ, откуда у нихъ появились и средства для привлеченія лаконской помощи. Пиѳія же постоянно, когда лакедэмоняне обращались къ ней за изреченіями, возвѣщала имъ, чтобы они освободили Аѳины, пока, наконецъ, она не заставила ихъ приступить къ дѣлу, несмотря на то, что Писистратиды были ихъ гостепріимцами. Немалую роль въ готовности лаконцевъ играла и дружба Писистратидовъ съ аргивянами. И вотъ сначала послали они моремъ Анхимола съ войскомъ. Когда же онъ былъ разбитъ и убитъ вслѣдствіе прихода на помощь ѳессалійца Кинея съ тысячею всадниковъ, они, ко всему прочему, были раздражены случившимся и выслали царя Клеомена съ большимъ войскомъ сухимъ путемъ Онъ разбилъ ѳессалійскихъ всадниковъ, желавшихъ помѣшать ему всту-

κὴν παριέναι, κατακλείσας τὸν Ἱππίαν εἰς τὸ καλούμενον Πελαργικὸν
6 τεῖχος ἐπολιόρκει μετὰ τῶν Ἀθηναίων. προσκαθημένου δ' αὐτοῦ συνέπεσεν ὑπεξιόντας ἁλῶναι τοὺς τῶν Πεισιστρατιδῶν υἱεῖς· ὧν ληφθέντων ὁμολογίαν ἐπὶ τῇ τῶν παίδων σωτηρίᾳ ποιησάμενοι, καὶ τὰ ἑαυτῶν ἐν πένθ' ἡμέραις ἐκκομισάμενοι, παρέδωκαν τὴν ἀκρόπολιν τοῖς Ἀθηναίοις ἐπὶ Ἁρπακτίδου [82]) ἄρχοντος, κατασχόντες τὴν τυραννίδα μετὰ τὴν τοῦ πατρὸς τελευτὴν ἔτη μάλιστα ἑπτακαίδεκα, τὰ δὲ σύμπαντα σὺν οἷς ὁ πατὴρ ἦρξεν ἐνὸς δεῖ [83]) πεντήκοντα.

XX. καταλυθείσης δὲ τῆς τυραννίδος, ἐστασίαζον πρὸς ἀλλ[ήλ]ους Ἰσαγόρας ὁ Τεισάνδρου, φίλος ὢν τῶν τυράννων, καὶ Κλεισθένης τοῦ γένους ὢν τῶν Ἀλκμεωνιδῶν. ἡττώμενος δὲ ταῖς ἑταιρείαις ὁ Κλεισθένης προσηγάγετο τὸν δῆμον, ἀποδιδοὺς τῷ πλήθει τὴν πο-
2 λιτείαν. ὁ δὲ Ἰσαγόρας ἐπιλειπόμενος τῇ δυνάμει πάλιν ἐπικαλεσάμενος τὸν Κλεομένην ὄντα ἑαυτῷ ξένον, συνέπεισεν ἐλαύνειν τὸ ἄγος,
3 διὰ τὸ τοὺς Ἀλκμεωνίδας δοκεῖν εἶναι τῶν ἐναγῶν. ὑπεξελθόντος δὲ τοῦ Κλεισθένους, <ἀφικόμενος ὁ Κλεομένης> [84]) μετ' ὀλίγων ἡγηλάτει τῶν Ἀθηναίων ἑπτακοσίας οἰκίας· ταῦτα δὲ διαπραξάμενος τὴν μὲν βουλὴν ἐπειρᾶτο καταλύειν, Ἰσαγόραν δὲ καὶ τριακοσίους τῶν φίλων μετ' αὐτοῦ κυρίους καθιστάναι τῆς πόλεως. τῆς δὲ βουλῆς ἀντιστάσης καὶ συναθροισθέντος τοῦ πλήθους, οἱ μὲν περὶ τὸν Κλεομένην καὶ Ἰσαγόραν κατέφυγον εἰς τὴν ἀκρόπολιν· ὁ δὲ δῆμος δύο μὲν ἡμέρας προσκαθεζόμενος ἐπολιόρκει, τῇ δὲ τρίτῃ Κλεομένην μὲν καὶ τοὺς μετ' αὐτοῦ πάντας ἀφεῖσαν ὑποσπόνδους, Κλεισθένην δὲ καὶ
4 τοὺς ἄλλους φυγάδας μετεπέμψαντο. κατασχόντος δὲ τοῦ δήμου τὰ πράγματα Κλεισθένης ἡγεμὼν ἦν καὶ τοῦ δήμου προστάτης. αἰτιώτατοι γὰρ σχεδὸν ἐγένοντο τῆς ἐκβολῆς τῶν τυράννων οἱ Ἀλκμεωνίδαι καὶ
5 στασιάζοντες [85]) τὰ πολλὰ διετέλεσαν. ἔτι δὲ πρότερον τῶν Ἀλκμεωνιδῶν Κήδων ἐπέθετο τοῖς τυράννοις, διὸ καὶ ᾔδον καὶ εἰς τοῦτον ἐν τοῖς σκολιοῖς·

ἔγχει καὶ Κήδωνι, διάκονε, μηδ' ἐπιλήθου,
εἰ χρὴ τοῖς [86]) ἀγαθοῖς ἀνδράσιν οἰνοχοεῖν.

---

[82]) Nomen potest corruptum esse. Ka. 170.
[83]) Ka. 170 δεῖν S.
[84]) Ka. 171. S. nihil adnotat.
[85]) Ka. 172 probat Gennadi coniecturam <πρὸς αὐτοὺς>.
[86]) εἰ δὴ χρὴ Athen. 695.

пить въ Аттику, заперъ Иппію въ такъ называемой пеларгской стѣнѣ и, вмѣстѣ съ аѳинянами, повелъ осаду. Во время осады случилось, что были захвачены дѣти Писистратидовъ, собиравшіяся незамѣтно бѣжать. Послѣ плѣненія ихъ, тираннны, чтобы спасти дѣтей, заключили договоръ, вывезли въ теченіе пяти дней свое имущество и передали акрополь аѳинянамъ при архонтѣ Арпактидѣ, пробывъ во власти, послѣ смерти отца, не болѣе семнадцати лѣтъ, а, если причислить сюда и время правленія ихъ отца, то всего сорокъ девять лѣтъ.

XX. По уничтоженіи тираннін шла партійная борьба между Исагорою, сыномъ Тисандра, другомъ тирановъ, и Клисѳеномъ, происходившимъ изъ рода Алкмеонидовъ. Побѣжденный въ партійной борьбѣ Клисѳенъ привлекъ на свою сторону простой народъ, обѣщавъ передать власть въ руки большинства гражданъ. Исагора, уступая ему теперь въ силѣ, снова призвалъ на помощь Клеомена, своего гостепріимца, и убѣдилъ его удалить отъ города нечестіе, такъ какъ Алкмеониды считались нечестивыми. Клисѳенъ успѣлъ тайно оставить городъ и Клеоменъ, прибывъ сюда съ небольшою дружиною, изгналъ изъ Аѳинъ семьсотъ семей. Сдѣлавъ это, онъ попытался уничтожить совѣтъ, а во главѣ города поставить Исагору и съ нимъ триста его друзей. Совѣтъ, однако, сталъ сопротивляться, народъ собрался ему на помощь, и Клеоменъ и Исагора со сторонниками своими бѣжали въ акрополь. Народъ два дня осаждалъ ихъ, расположившись возлѣ послѣдняго. На третій день отпустили по договору Клеомена и бывшихъ съ нимъ, а Клисѳена и другихъ изгнанниковъ призвали въ городъ. Когда народъ такимъ образомъ завладѣлъ верховенствомъ, Клисѳенъ сдѣлался вождемъ его и представителемъ. Вѣдь можно сказать, что Алкмеониды, скорѣе всего, были виновниками изгнанія тирановъ, да и постоянно поднимали мятежи (противъ нихъ). Впрочемъ, и раньше еще Алкмеонидовъ, Кидонъ сдѣлалъ нападеніе на тирановъ. Поэтому-то о немъ пѣли въ застольныхъ пѣсняхъ:

Мальчикъ, налить и Кидону вина не забудь, если прочимъ
Доблестнымъ людямъ ты сталъ въ кубки вино разливать.

XXI. διὰ μὲν οὖν ταύτας τὰς αἰτίας ἐπίστευεν [87]) ὁ δῆμος τῷ Κλεισθένει. τότε δὲ τοῦ πλήθους προεστηκὼς ἔτει τετάρτῳ μετὰ τὴν
2 τῶν τυράννων κατάλυσιν ἐπὶ Ἰσαγόρου ἄρχοντος [88]) πρῶτον μὲν συνένειμε πάντας εἰς δέκα φυλὰς ἀντὶ τῶν τεττάρων, ἀναμεῖξαι βουλό-
3 μενος ὅπως μετάσχωσι πλείους τῆς πολιτείας· ὅθεν ἐλέχθη καὶ τὸ 'μὴ φυ-
pag. IX. λοκρινεῖν' || πρὸς τοὺς ἐξετάζειν τὰ γένη βουλομένους. ἔπειτα τὴν βουλὴν πεντακοσί[ους] ἀντὶ τετρακοσίων κ[ατ]έστησεν, πεντήκοντα ἐξ ἑκάστης <τῆς> [89]) φυλῆς· τότε δ' ἦ[σα]ν ἑκατόν. διὰ τοῦτο δὲ οὐκ εἰς δώ-[δε]κα φυλὰς συνέταξεν, ὅπ[ως α]ὐτῷ μὴ συμβαίνῃ μερίζειν κατὰ τὰς προυπαρχούσας τριττύς· ἦσαν γὰρ ἐκ δ' [90]) φυλῶν δώδεκα τριτ-
4 τύες, ὥστ' οὐ [συν]έπιπτεν <ἂν> ἀναμίσγεσθαι τὸ πλῆθος. διένειμε δὲ καὶ τὴν χώραν κατὰ [91]) δήμους τριάκοντα μέρη, δέκα μὲν πῶν περὶ τὸ ἄστυ, δέκα δὲ τῆς παραλίας, δέκα δὲ τῆς μεσογείου, καὶ ταύτας ἐπονομάσας τριττύς, ἐκλήρωσεν τρεῖς εἰς τὴν φυλὴν ἑκάστην, ὅπως ἑκάστη μετέχῃ πάντων τῶν τόπων. καὶ δημότας ἐποίησεν ἀλλήλων τοὺς οἰκοῦντας ἐν ἑκάστῳ τῶν δήμων, ἵνα μὴ πατρόθεν προσαγορεύοντες ἐξελέγχωσιν τοὺς νεοπολίτας, ἀλλὰ τῶν δήμων ἀναγο-
ρεύωσιν· ὅθεν καὶ καλ[οῦ]σιν Ἀθηναῖοι σφᾶς αὐτοὺς τῶν δήμων.
5 κατέστησε δὲ καὶ δημάρχους τὴν αὐτὴν ἔχοντας ἐπιμέλειαν τοῖς πρότερον ναυκράροις· καὶ γὰρ τοὺς δήμους ἀντὶ τῶν ναυκραριῶν ἐποίησεν. προσηγόρευσε δὲ τῶν δήμων τοὺς μὲν ἀπὸ τῶν [τ]όπ[ων], τοὺς δὲ ἀπὸ τῶν κτισάντων· οὐ γὰρ ἅπαντες ὑπῆρχον ἔτι τοῖς τόποις.
6 τὰ δὲ γένη καὶ τὰς φρατρίας καὶ τὰς ἱερεωσύνας εἴασεν ἔχειν ἑκάστους κατὰ τὰ πάτρια. ταῖς δὲ φυλαῖς ἐποίησεν ἐπωνύμ[ους] ἐκ τῶν προκριθέντων ἑκατὸν ἀρχηγετῶν οὓς ἀνεῖλεν ἡ Πυθία δέκα.

XXII. τούτων δὲ γενομένων δημοτικωτέρα πολ[ὺ τῆς Σ]όλωνος

---

[87]) ἐπίστευ[ο]ν. Ka. 172 affert Dion. Chrys. 25,3 κατήεσαν ὁ δῆμος.

[88]) Lacunam indicat Ka. 173—174. Deest fere post βουλόμενος <καὶ πολλοὺς ξένους καὶ δούλους ἐφυλέτευσε>, ὅπως κτλ.

[89]) Bl. Ka. 189. Qua de causa S. hic non supplevit, XXII § 2 supplevit, nescio.

[90]) τεττάρων S.

[91]) R. Löper vult καὶ δήμους.

XXI. И вотъ по этимъ-то причинамъ народъ питалъ довѣріе къ Клисѳену. Тогда же, будучи представителемъ народа, на четвертый годъ послѣ уничтоженія тиранніи, при архонтѣ Исагорѣ, онъ прежде всего раздѣлилъ общину на десять филъ вмѣсто прежнихъ четырехъ *), желая смѣшать гражданъ, чтобы большее количество людей пользовалось гражданскими правами. Отсюда ведетъ начало поговорка «оставь въ покоѣ филы»—по адрессу лицъ, желающихъ допытываться, изъ какого кто рода. Потомъ онъ учредилъ совѣтъ изъ пятисотъ человѣкъ, вмѣсто прежнихъ четырехсотъ, по пятидесяти изъ каждой филы: тогда же ихъ было по сту. Не раздѣлилъ онъ народа на двѣнадцать филъ по той причинѣ, чтобы это его дѣленіе не совпало съ существовавшими въ то время третями (дѣло въ томъ, что въ четырехъ филахъ было двѣнадцать третей); въ такомъ случаѣ, можетъ быть, потерпѣлъ бы неудачу его планъ смѣшать всю массу населенія. Раздѣлилъ онъ также страну по димамъ **) на тридцать частей: десять городскихъ, десять прибрежныхъ, десять срединныхъ, и назвалъ эти части третями; ихъ по жребію онъ раздѣлилъ по три каждой филѣ такимъ образомъ, чтобы каждой приходилось владѣть всѣми родами областей. Всѣхъ живущихъ въ одномъ димѣ онъ сплотилъ въ одну общину съ тѣмъ, чтобы они не называли другъ друга по отцу, и, такимъ образомъ, не уличали бы новыхъ гражданъ, но прозывали другъ друга по димамъ; оттого-то аѳиняне оффиціально и называютъ себя по димамъ. Онъ поставилъ и димарховъ, которые несли тѣ же заботы, что и прежніе навкрары: димы вѣдь именно навкраріи и замѣнили собою. Одни изъ димовъ назвалъ онъ по мѣстоположенію, другіе по основателямъ: дѣло въ томъ, что самыя мѣстности не сохраняли болѣе всѣхъ ихъ***). Родовыя же отношенія, фратріи и жречества предоставилъ онъ каждому сохранить по примѣру предковъ. Филамъ же далъ онъ десять эпонимовъ, назначенныхъ Пиѳіею изъ ста заранѣе избранныхъ родоначальниковъ.

XXII. Когда все это совершилось, государственный строй сталъ гораздо болѣе димократическимъ, чѣмъ Солоновскій.

---

*) Пропущено, можетъ быть: <и принялъ въ нихъ много иностранцевъ и рабовъ>.

**) т. е. принявъ въ соображеніе мѣстонахожденіе димовъ.

***) т. е. не всѣ димы помнили своихъ миѳическихъ основателей и пришлось въ нѣкоторыхъ названіяхъ примѣниться лишь къ мѣстоположенію.

ἐγένετο ἡ πολιτεία· καὶ γὰρ συνέβη τοὺς μὲν Σόλωνος νόμους ἀφανίσαι τὴν τυραννίδα διὰ τὸ μὴ χρῆσθαι, καινοὺς δ' ἄλλους θεῖναι τὸν Κλεισθένη στοχαζόμενον τοῦ πλήθους, ἐν οἷς ἐτέθη καὶ ὁ περὶ
2 τοῦ ὀστρακισμοῦ νόμος. πρῶτον μὲν οὖν ἔτει πέμπτῳ [92]) μετὰ ταύτην τὴν κατάστασιν ἐφ' Ἑρμοκρέοντος ἄρχοντος τῇ βουλῇ τοῖς πεντακοσίοις τὸν ὅρκον ἐποίησαν ὃν ἔτι καὶ νῦν ὀμνύουσιν. ἔπειτα τοὺς στρατηγοὺς ἡροῦντο κατὰ φυλάς, ἐξ ἑκάστης <τῆς> φυλῆς ἕνα, τῆς
3 δὲ ἁπάσης στρατιᾶς ἡγεμὼν ἦν ὁ πολέμαρχος. ἔτει δὲ μετὰ ταῦτα δωδεκάτῳ νικήσαντες τὴν ἐν Μαραθῶνι μάχην ἐπὶ Φαινίππου ἄρχοντος, διαλιπόντες ἔτη δύο μετὰ τὴν νίκην, θαρροῦντος ἤδη τοῦ δήμου, τότε πρῶτον ἐχρήσαντο τῷ νόμῳ τῷ περὶ τὸν ὀστρακισμόν, ὃς ἐτέθη διὰ τὴν ὑποψίαν τῶν ἐν ταῖς δυνάμεσιν, ὅτι Πεισίστρατος δημαγωγὸς
4 καὶ στρατηγὸς ὢν τύραννος κατέστη. καὶ πρῶτος ὠστρακίσθη τῶν ἐκείνου συγγενῶν Ἵππαρχος Χάρμου Κολλυτεύς, δι' ὃν καὶ μάλιστα τὸν νόμον ἔθηκεν ὁ Κλεισθένης, ἐξελάσαι βουλόμενος αὐτόν. οἱ γὰρ Ἀθηναῖοι τοὺς τῶν τυράννων φίλους, ὅσοι μὴ συνεξαμαρτάνοιεν [93]) ταῖς ταραχαῖς, εἴων οἰκεῖν τὴν πόλιν, χρώμενοι τῇ εἰωθυίᾳ τοῦ δήμου
5 πραότητι· ὧν ἡγεμὼν καὶ προστάτης ἦν Ἵππαρχος. εὐθὺς δὲ τῷ ὑστέρῳ ἔτει ἐπὶ Τελεσίνου ἄρχοντος ἐκύαμευσαν τοὺς ἐννέα ἄρχοντας κατὰ φυλὰς ἐκ τῶν προκριθέντων ὑπὸ τῶν δημοτῶν πεντακοσίων τότε μετὰ τὴν τυραννίδα πρῶτον, (οἱ δὲ πρότεροι πάντες ἦσαν αἱρετοί)· καὶ ὠστρα-
6 κίσθη Μεγακλῆς Ἱπποκράτους Ἀλωπεκῆθεν. ἐπὶ μὲν οὖν ἔτη γ' [94]) τοὺς τῶν τυράννων φίλους ὠστράκιζον, ὧν χάριν ὁ νόμος ἐτέθη, μετὰ δὲ ταῦτα τῷ τετάρτῳ ἔτει καὶ τῶν ἄλλων εἴ τις δοκοίη μείζων εἶναι μεθίστατο· καὶ πρῶτος ὠστρακίσθη τῶν ἄπωθεν τῆς τυραννίδος Ξάνθ-
7 ιππος ὁ Ἀρίφρονος. ἔτει δὲ τρίτῳ μετὰ ταῦτα Νικοδήμου ἄρχοντος, ὡς ἐφάνη τὰ μέταλλα τὰ ἐν Μαρωνείᾳ καὶ περιεγένετο τῇ πόλει τάλαντα ἑκατὸν ἐκ τῶν ἔργων, συμβουλευόντων τινῶν τῷ δήμῳ διανείμασθαι τὸ ἀργύριον, Θεμιστοκλῆς ἐκώλυσεν, οὐ λέγων ὅ τι χρήσεται τοῖς χρήμασιν ἀλλὰ δανεῖσαι κελεύων τοῖς πλουσιωτάτοις Ἀθηναίων ἑκατὸν ἑκάστῳ τάλαντον, εἶτ' ἐὰν μέν ἀρέσκῃ τὸ ἀνάλωμα, τῆς πόλεως εἶναι τὴν δαπάνην, εἰ δὲ μή, κομίσασθαι τὰ χρήματα παρὰ τῶν δανεισαμένων. λαβὼν δ' ἐπὶ τούτοις ἐνα[υ]πηγήσατο τριήρεις ἑκατόν,

---

[92]) Crucibus denotat S.
[93]) Ka. 175—176. συνεξημάρτανον ἐν S.
[94]) τρία S.

Случилось такъ, что законы Солона тиранніею были повергнуты въ забвеніе, такъ какъ ими не пользовались, а Клисоенъ, руководясь интересами народа, издалъ новые; въ томъ числѣ изданъ былъ и законъ относительно остракисма. Прежде всего, на пятый годъ, по установленію этихъ порядковъ, при архонтѣ Ермокреонтѣ, введена была для совѣта пятисотъ та присяга, которую они даютъ и по сію пору. Затѣмъ стали избирать стратиговъ по филамъ, изъ каждой по одному; во главѣ же всего войска стоялъ полемархъ. На двѣнадцатый годъ послѣ этого, побѣдивъ въ мараѳонской битвѣ при архонтѣ Фэниппѣ, черезъ два года послѣ этой побѣды, когда народъ уже сознавалъ свою силу, тогда въ первый разъ воспользовались закономъ объ остракисмѣ, изданнымъ изъ недовѣрія къ лицамъ вліятельнымъ, такъ какъ Писистратъ сдѣлался тираномъ изъ димагога и стратига. Первымъ подвергся остракисму одинъ изъ его родственниковъ Иппархъ Хармовъ Коллитеецъ, ради котораго, главнымъ образомъ, издалъ свой законъ Клисѳенъ, желавшій его изгнанія. Дѣло въ томъ, что аѳиняне тѣхъ изъ друзей тирановъ, которые были неповинны въ смутахъ, по привычной снисходительности народа, оставляли жить въ городѣ; во главѣ ихъ стоялъ и представителемъ ихъ былъ Иппархъ. Сейчасъ же, въ слѣдующемъ году, при Телесинѣ архонтѣ, девять архонтовъ были избраны бобовымъ жеребіемъ по филамъ изъ-заранѣе выбранныхъ димотами пятисотъ человѣкъ, въ первый разъ послѣ тиранніи (всѣ прежніе были избираемы голосованіемъ); и изгнанъ былъ остракисмомъ Мегаклъ Иппократовъ изъ Алопеки. И вотъ три года подъ рядъ изгонялись остракисмомъ друзья тирановъ, ради которыхъ былъ изданъ законъ, затѣмъ, на четвертый годъ, стали изгоняться и другіе, если кто казался черезчуръ вліятельнымъ; первымъ изъ неродственныхъ тиранну подвергся остракисму Ксанѳиппъ Арифроновъ. На третій годъ послѣ этого, при архонтѣ Никодимѣ, когда открыты были рудники въ Маронеи и городъ выручилъ сто талантовъ отъ разработки ихъ, Ѳемистоклъ воспрепятствовалъ принятію совѣта нѣкоторыхъ гражданъ подѣлить деньги между народомъ; онъ не говорилъ, на что употребить ихъ, но предложилъ раздать ихъ въ долгъ самымъ богатымъ изъ аѳинянъ, по сту талантовъ каждому, съ тѣмъ, чтобы въ случаѣ, когда предметъ издержекъ будетъ одобренъ, городъ взялъ эти издержки на себя, если же нѣтъ, чтобы деньги были взысканы со взявшихъ ихъ въ долгъ. Полу-

ἑκάστου ναυπηγουμένου τῶν ἑκατὸν μίαν, αἷς ἐναυμάχησαν ἐν Σαλα-
μῖνι πρὸς τοὺς βαρβάρους. ὠστρακίσθη δ' ἐν τούτοις τοῖς καιροῖς,
8 Ἀριστείδης ὁ Λυσιμάχου. τετάρτῳ δ' ἔτει κατεδέξαντο πάντας τοὺς
ὠστρακισμένους, ἄρχοντος Ὑψιχίδου, διὰ τὴν Ξέρξου στρατείαν· καὶ
τὸ λοιπὸν ὥρισαν τοῖς ὀστρακιζομένοις ἐντὸς [95]) Γεραιστοῦ καὶ Σκυλ-
λαίου κατοικεῖν ἢ ἀτίμους εἶναι καθάπαξ.

XXIII. τότε μὲν οὖν μέχρι τούτου προῆλθεν ἡ πόλις, ἅμα τῇ
δημοκρατίᾳ κατὰ μικρὸν αὐξανομένη· μετὰ δὲ τὰ Μηδικὰ πάλιν ἴσχυ-
σεν ἡ ἐν Ἀρείῳ πάγῳ βουλὴ καὶ διῴκει τὴν πόλιν, οὐδενὶ δόγματι
λαβοῦσα τὴν ἡγ[εμο]νίαν, ἀλλὰ διὰ τὸ γενέσθαι τῆς περὶ Σαλαμῖνα
ναυμαχίας αἰτία. τῶν γὰρ στρατηγῶν ἐξαπορησάντων τοῖς πράγμασι
καὶ κηρυξάντων σῴζειν ἕκαστον ἑαυτόν, πορίσασα δραχμὰς ἑκάστῳ
2 ὀκτὼ διέδωκε καὶ ἐνεβίβασεν εἰς τὰς ναῦς. διὰ ταύτην δὴ τὴν αἰτίαν
παρεχώρουν αὐτῇ τῷ ἀξιώματι [96]) καὶ ἐπολιτεύθησαν Ἀθηναῖοι καλῶς
καὶ κατὰ τούτους τοὺς καιρούς. συνέβη γὰρ αὐτοῖς περὶ τὸν χρόνον
τοῦτον τά τε εἰς τὸν πόλεμον ἀσκῆσαι καὶ παρὰ τοῖς Ἕλλησιν εὐδο-
κιμῆσαι καὶ τὴν τῆς θαλάττης ἡγεμονίαν λαβεῖν ἀκόντων τῶν Λακε-
3 δαιμονίων. ἦσαν δὲ προστάται τοῦ δήμου κατὰ τούτους τοὺς καιροὺς
Ἀριστείδης ὁ Λυσιμάχου καὶ Θεμιστοκλῆς ὁ Νεοκλέους, ὁ μὲν τὰ
πολέμια [97]) δοκῶν, ὁ δὲ τὰ πολιτικὰ δεινὸς εἶναι καὶ δικαιοσύνῃ τῶν
καθ' ἑαυτὸν διαφέρειν· διὸ καὶ ἐχρῶντο τῷ μὲν στρατηγῷ, τῷ δὲ
4 συμβούλῳ. τὴν μὲν οὖν τῶν τειχῶν ἀνοικοδόμησιν κοινῇ διῴκησαν,
καίπερ διαφερόμενοι πρὸς ἀλλήλους· ἐπὶ δὲ τὴν ἀπόστασιν τὴν τῶν
Ἰώνων ἀπὸ τῆς τῶν Λακεδαιμονίων συμμαχίας Ἀριστείδης ἦν ὁ
προτρέψας, τηρήσας τοὺς Λάκωνας διαβεβλημένους διὰ Παυσανίαν.
5 διὸ καὶ τοὺς φόρους οὗτος ἦν ὁ τάξας ταῖς πόλεσιν τοὺς πρώτους ἔτει
τρίτῳ μετὰ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν ἐπὶ Τιμοσθένους ἄρχοντος,
pag. καὶ τοὺς ὅρκους ὤμοσεν τοῖς Ἴωσιν ‖ ὥστε τὸν αὐτὸν ἐχθρὸν εἶναι
X. καὶ φίλον, ἐφ' οἷς καὶ τοὺς μύδρους ἐν τῷ πελάγει καθεῖσαν.

XXIV. μετὰ δὲ ταῦτα θαρρούσης ἤδη τῆς πόλεως καὶ χρημάτων

---

[95]) ἐκτὸς S. Wyse nec non Blassium secutus. Sic etiam mutandum censet Ka. 177.

[96]) Ka. 178. αὐτῇ τοῦ ἀξιώματος S.

[97]) πολεμικὰ S. (Bl.).

чивъ на этихъ условіяхъ деньги, онъ далъ построить сто тріиръ, каждому изъ ста гражданъ по одной; на этихъ-то судахъ аѳиняне у Саламина бились въ морскомъ сраженіи съ варварами. Объ эту же пору подвергся остракисму Аристидъ Лисимаховъ. На четвертый годъ, въ архонтство Ипсихида, были приняты обратно всѣ подвергнутые остракисму въ виду похода Ксеркса; на остальное время подвергнутымъ остракисму отвели проживать по сю сторону Герэста и Скиллэя подъ угрозою лишенія правъ разъ навсегда.

XXIII. Итакъ, тогда городъ развился до этихъ предѣловъ, причемъ понемногу все крѣпло народное правленіе; послѣ же мидійскихъ войнъ снова усилился совѣтъ Ареопага и сталъ управлять городомъ: онъ не получилъ верховенства никакимъ формальнымъ постановленіемъ, но сталъ пользоваться большимъ почетомъ какъ виновникъ морского сраженія при Саламинѣ. Дѣло въ томъ, что, когда стратиги потеряли голову при тогдашнемъ положеніи дѣлъ и объявили, чтобы всякій спасался какъ можетъ, онъ досталъ и роздалъ каждому гражданину по восьми драхмъ и заставилъ ихъ сѣсть на корабли. По этой-то причинѣ народъ и отступилъ на второй планъ предъ его авторитетомъ, и управлялись аѳиняне и въ это время прекрасно. Удалось имъ въ это время и испытать себя въ военномъ дѣлѣ, и славы достигнуть среди эллиновъ, и завладѣть верховенствомъ на морѣ несмотря на нежеланіе лакедэмонянъ. Представителями же народа въ это время были Аристидъ Лисимаховъ и Ѳемистоклъ Неокловъ, одинъ въ военномъ дѣлѣ, а другой въ политикѣ считавшійся выдающимся человѣкомъ и въ то же время стоящимъ своею справедливостію высоко среди современниковъ; поэтому-то къ одному они прибѣгали какъ къ полководцу, къ другому какъ къ совѣтнику. За возобновленіемъ стѣнъ они наблюдали вмѣстѣ, хотя и были во враждѣ другъ съ другомъ. Отпаденіе Іонянъ отъ Лакедэмонскаго союза произошло по почину Аристида, улучившаго моментъ возникновенія ненависти къ лаконцамъ вслѣдствіе поведенія Павсаніи. Поэтому онъ же назначилъ и первую дань городамъ, на третій годъ послѣ морского сраженія при Саламинѣ, при архонтѣ Тимосоенѣ, и онъ же и присягу далъ передъ іонянами имѣть того же съ ними и друга и недруга, въ подкрѣпленіе чего они погрузили въ море куски металла*).

478

XXIV. Когда потомъ городъ уже чувствовалъ свою силу

*) Въ объясненіе обряда ср. въ лѣтописи Нестора: «Толи не буди мира межи нами, оли же камень начнетъ плавати и пр.» (л. 6493).

ἠθροισμένων πολλῶν, συνεβούλευεν ἀντιλαμβάνεσθαι τῆς ἡγεμονίας
καὶ καταβάντας ἐκ τῶν ἀγρῶν οἰκεῖν ἐν τῷ ἄστει (τροφὴν γὰρ ἔσεσθαι
πᾶσι, τοῖς μὲν στρατευομένοις, τοῖς δὲ φρουροῦσι, τοῖς δὲ τὰ κοινὰ
2 πράττουσι), εἶθ' οὕτω κατασχήσειν τὴν ἡγεμονίαν. πεισθέντες δὲ
ταῦτα καὶ λαβόντες τὴν ἀρχὴν τοῖς τε [98]) συμμάχοις δεσποτικωτέρως
ἐχρῶντο πλὴν Χίων καὶ Λεσβίων καὶ Σαμίων· τούτους δὲ φύλακας
εἶχον τῆς ἀρχῆς, ἐῶντες τάς τε πολιτείας παρ' αὐτοῖς καὶ ἄρχειν
3 ὧν ἔτυχον ἄρχοντες. κατέστησαν δὲ καὶ τοῖς πολλοῖς εὐπορίαν τροφῆς,
ὥσπερ Ἀριστείδης εἰσηγήσατο. συνέβαινεν γὰρ ἀπὸ τῶν φόρων καὶ
τῶν τελῶν [[καὶ τῶν συμμάχων]] πλείους ἢ δισμυρίους ἄνδρας τρέ-
φεσθαι. δικασταὶ μὲν γὰρ ἦ[σα]ν ἑξακισχίλιοι, τοξόται δ' ἑξακόσιοι
καὶ χίλιοι, καὶ πρὸς τούτοις ἱππεῖς χίλιοι καὶ διακόσιοι, βουλὴ δὲ
πεντακόσιοι, καὶ φρουροὶ νεωρίων πεντακόσιοι, καὶ πρὸς τούτοις ἐν
τῇ πόλει φρουροὶ ν' [99]), ἀρχαὶ δ' ἔνδημοι μὲν εἰς ἑπτακοσίους ἄνδρας,
ὑπερόριοι δ' εἰς ἑπτακοσίους[100])· πρὸς δὲ τούτοις ἐπεὶ συνεστήσαντο τὸν
πόλεμον ὕστερον, ὁπλῖται μὲν δισχίλιοι καὶ πεντακόσιοι, νῆες δὲ
φρουρίδες εἴκοσι, ἄλλαι δὲ νῆες αἱ τοὺς φρουροὺς [101]) ἄγουσαι τοὺς
ἀπὸ τοῦ κυάμου δισχιλίους ἄνδρας, ἔτι δὲ πρυτανεῖον καὶ ὀρφανοὶ
καὶ δεσμωτῶν φύλακες· ἅπασι γὰρ τούτοις ἀπὸ τῶν κοινῶν ἡ διοί-
κησις ἦν.

XXV. ἡ μὲν οὖν τροφὴ τῷ δήμῳ διὰ τούτων ἐγίνετο. ἔτη δὲ
ἑπτὰ καὶ δέκα μάλιστα μετὰ τὰ Μηδικὰ διέμεινεν ἡ πολιτεία προε-
τώτων τῶν Ἀρεοπαγιτῶν, καίπερ ὑποφερομένη κατὰ μικρόν. αὐξανο-
μένου δὲ τοῦ πλήθους, γενόμενος τοῦ δήμου προστάτης Ἐφιάλτης
pag. XI. ὁ Σοφωνίδου, ‖ καὶ [102]) δοκῶν ἀδωροδόκητος εἶναι καὶ δίκαιος πρὸς τὴν
2 πολιτείαν, ἐπέθετο τῇ βουλῇ. καὶ πρῶτον μὲν ἀνεῖλεν πολλοὺς τῶν
Ἀρεοπαγιτῶν, ἀγῶνας ἐπι[φ]έρων περὶ τῶν διωκημένων· ἔπειτα τῆς
βουλῆς ἐπὶ Κόνωνος ἄρχοντος ἅπαντα περιείλετο τὰ ἐπίθετα δι' ὧν
ἦν ἡ τῆς πολιτείας φυλακή, καὶ τὰ μ[ὲν τ]οῖς πεντακοσίοις τὰ δὲ
3 τῷ δήμῳ καὶ τοῖς δικαστηρίοις ἀπέδωκεν. ἔπραττε [103]) δὲ ταῦτα συν-

---

[98]) Delet S. secutus Blassium. Ka. 179–180 lacunam indicat, quam post ἄρχοντες explet <καὶ πόλεις οὐκ ὀλίγας ἀνθισταμένας βίᾳ καταστρεψάμενοι χλημουχίαις κατελάμβανον> («etwa so»).

[99]) πεντήκοντα S.

[100]) Suspectum: Ka. 181.

[101]) S. secutus Blassium pro φόρους (papyr.).

[102]) Ka. 181 vult δοκῶν· καὶ.

[103]) Ka. 182. S. ἔπραξε (Bl.).

и собрано было много денегъ, Аристидъ далъ совѣтъ стремиться къ игемоніи, и, уйдя съ полей, основаться въ городѣ, такъ какъ будетъ чѣмъ содержать себя всѣмъ гражданамъ: однимъ въ походной службѣ, другимъ въ гарнизонной, инымъ опять въ общественныхъ должностяхъ, а затѣмъ-де, такимъ образомъ, они смогутъ забрать въ свои руки игемонію. Народъ послушался этого совѣта и, принявъ въ свои руки власть, сталъ болѣе деспотично обращаться съ союзниками, кромѣ хіосцевъ, лесвосцевъ и самосцевъ: эти послѣдніе служили у него стражами власти, и имъ онъ предоставилъ ихъ собственное государственное управленіе и ихъ владѣнія, какія у нихъ были; — — — *). Одновременно доставлено было и большинству гражданъ въ изобиліи, чѣмъ содержать себя, какъ Аристидъ тому указалъ путь. Дѣло въ томъ, что отъ даней и пошлинъ приходилось питаться болѣе чѣмъ двадцати тысячамъ народу. Было вѣдь шесть тысячъ судей, стрѣлковъ тысяча шестьсотъ, къ нимъ еще всадниковъ тысяча двѣсти, совѣтъ въ пятьсотъ человѣкъ, сторожей на верфяхъ пятьсотъ и сверхъ того городскихъ сторожей пятьдесятъ человѣкъ, чиновниковъ внутри страны до семисотъ человѣкъ, а за границами государства до семисотъ. Помимо названныхъ, когда они потомъ начали войну, двѣ тысячи пятьсотъ оплитовъ, двадцать сторожевыхъ судовъ, другихъ судовъ съ экипажемъ въ двѣ тысячи по жеребію выбранныхъ стражниковъ, затѣмъ еще пританіонъ, сироты и тюремщики; на всѣхъ вѣдь перечисленныхъ содержаніе шло изъ средствъ государства.

XXV. Итакъ народъ получалъ средства для жизни изъ такихъ источниковъ. Однако не болѣе семнадцати лѣтъ послѣ мидійскихъ войнъ управленіе государствомъ оставалось въ рукахъ Ареопагитовъ, хотя и начиная понемногу терять подъ собою почву. Въ то время, какъ масса населенія усиливалась, представитель народа Ефіальтъ Софонидовъ, считавшійся и человѣкомъ безкорыстнымъ и сторонникомъ справедливости въ дѣлахъ управленія, сдѣлалъ нападеніе на этотъ совѣтъ. Сначала онъ устранилъ многихъ Ареопагитовъ, завязавъ съ ними процессы относительно ихъ управленія. Потомъ же при архонтѣ Кононѣ онъ отнялъ у совѣта всѣ полученныя имъ въ послѣднее время права, благодаря которымъ онъ былъ стражемъ государства, и часть ихъ далъ пятистамъ, часть же народу и судилищамъ.

*) Пропущено, можетъ быть, приблиз.: <многіе также города, которые возстали противъ него, онъ подчинилъ силою и занялъ клирухіями>.

αιτίου γενομένου Θεμιστοκλέους, ὃς ἦν μὲν τῶν Ἀρεοπαγιτῶν, ἔμελλε δὲ κρίνεσθαι μηδισμοῦ. βουλόμενος δὲ καταλυθῆναι τὴν βουλὴν ὁ Θεμιστοκλῆς πρὸς μὲν τὸν Ἐφιάλτην ἔλεγεν ὅτι συναρπάζειν αὐτὸν ἡ βουλὴ μέλλει, πρὸς δὲ τοὺς Ἀρεοπαγίτας ὅτι δείξει τινὰς συνισταμένους ἐπὶ καταλύσει τῆς πολιτείας. ἀγαγὼν δὲ τοὺς αἱρεθέντας τῆς βουλῆς οὗ διέτριβεν ὁ Ἐφιάλτης, ἵνα δείξῃ τ[οὺ]ς ἀθροιζομένους,
4 διελέγετο μετὰ σπουδῆς αὐτοῖς. ὁ δ' Ἐφιάλτης ὡς εἶδεν καταπλαγεὶς καθίζει μονοχίτων ἐπὶ τὸν βωμόν. θαυμασάντων δὲ πάντων τὸ γεγον[ὸς] καὶ μετὰ ταῦτα συναθροισθείσης τῆς βουλῆς τῶν πεντακοσίων κατηγόρουν τῶν Ἀρεοπαγιτῶν ὅ τ' Ἐφιάλτης καὶ <ὁ> Θεμιστοκλῆς καὶ πάλιν ἐν τῷ δήμῳ τὸν αὐτὸν τρόπον, ἕως περιείλοντο αὐτῶν τὴν δύναμιν. καὶ <ὁ μὲν Θεμιστοκλῆς — — [104])> ἀνῃρέθη δὲ καὶ ὁ Ἐφιάλτης δολοφονηθεὶς μετ' οὐ πολὺν χρόνον ὑπ' Ἀριστοδίκου [τ]οῦ Ταναγραίου.

XXVI. ἡ μὲν οὖν τῶν Ἀρεοπαγιτῶν βουλὴ τοῦτον τὸν τρόπον ἀπεστερήθη τῆς ἐπιμελείας. μετὰ δὲ ταῦτα συνέβαινεν ἀνίεσθαι μᾶλλον τὴν πολιτείαν διὰ τοὺς προθύμως δημαγωγοῦντας. κατὰ γὰρ τοὺς καιροὺς τούτους συνέπεσε μηδ' ἡγεμόνα ἔχειν τοὺς ἐπιεικεστέρους, ἀλλ' αὐτῶν προεστάναι Κίμωνα τὸν Μιλτιάδου νεώτερον [105]) ὄντα καὶ πρὸς τὴν πόλιν ὀψὲ προσελθόντα, πρὸς δὲ τούτοις ἐφθάρθαι τοὺς πολλοὺς κατὰ πόλεμον· τῆς γὰρ στρατείας γινομένης ἐν τοῖς τότε χρόνοις ἐκ καταλόγου, καὶ στρατηγῶν ἐφισ[τ]αμένων ἀπείρων μὲν τοῦ πολεμεῖν τιμωμένων δὲ διὰ τὰς πατρικὰς δόξας, αἰεὶ συνέβαινεν τῶν ἐξιόντων ἀνὰ δισχιλίους ἢ τρισχιλίους ἀπόλλυσθαι, [ὥ]στε ἀναλίσκεσθαι τοὺς
2 ἐπιεικεῖς καὶ τοῦ δήμου καὶ τῶν εὐπόρων. τὰ μὲν οὖν ἄλλα πάντα διῴκουν οὐχ ὁμοίως καὶ πρότερον τοῖς νόμοις προσέχοντες, τὴν δὲ τῶν ἐννέα ἀρχόντων αἵρεσιν οὐκ ἐκίνουν, ἀλλ' ἕκτῳ ἔτει μετὰ τὸν Ἐφιάλτου θάνατον ἔγνωσαν καὶ ἐκ ζευγιτῶν προκρίνεσθαι τοὺς κληρωσομένους τῶν ἐννέα ἀρχόντων, καὶ πρῶτος ἦρξεν ἐξ αὐτῶν Μνησιθείδης. οἱ δὲ πρὸ τούτου πάντες ἐξ ἱππέων καὶ πεντακοσιομεδίμνων

---

[104]) De lacuna cf. Ka. 182—183. Haec fere apud Arist. legebantur: καὶ <ὁ μὲν Θ. ἐν τῷ ὕστερον χρόνῳ ὀστρακισθεὶς καὶ ἐλεγχθεὶς μηδισμοῦ ἔφυγεν ὡς βασιλέα καὶ ἀπέθανεν ἄτιμος ὤν>, ἀνῃρέθη δὲ κτλ.

[105]) Cruce denotat S.; Ka. 183 vult νωθρότερον. Cf. W.-M. I, 136—137.

Приводилъ же онъ это въ исполненіе при участіи Ѳемистокла, который принадлежалъ къ числу Ареопагитовъ, но находился подъ страхомъ подвергнуться суду за сочувствіе мидянамъ. Желая уничтожить совѣтъ, Ѳемистоклъ говорилъ Ефіальту, будто совѣтъ собирается захватить его, Ареопагитамъ же сообщалъ, что укажетъ имъ лицъ, составившихъ заговоръ для ниспроверженія государственнаго строя. Поведя избранныхъ изъ совѣта туда, гдѣ находился Ефіальтъ, якобы съ тѣмъ, чтобы указать имъ сборище, онъ по пути оживленно съ ними разговаривалъ. Ефіальтъ, когда увидѣлъ ихъ, испуганный усѣлся въ одномъ хитонѣ на жертвенникъ. Этотъ случай привелъ всѣхъ въ смущеніе и, когда потомъ собрался совѣтъ пятисотъ, Ефіальтъ и Ѳемистоклъ стали обвинять Ареопагитовъ здѣсь, а когда собрался народъ, и передъ народомъ, пока у нихъ не была отнята ихъ власть. Потомъ, однако Ѳемистоклъ,*) — — —, и погибъ и Ефіальтъ немного позже, вѣроломно убитый Аристодикомъ Танагрскимъ.

XXVI. Такимъ, слѣдовательно, образомъ, совѣтъ Ареопагитовъ былъ лишенъ попеченія о городѣ. Послѣ же этого случилось такъ, что государственные порядки еще болѣе расшатались благодаря излишнему усердію народолюбцевъ. Въ это время, къ тому-же, у болѣе благоразумныхъ не было вождя, а представителемъ ихъ былъ Кимонъ Мильтіадовъ, человѣкъ слишкомъ молодой **) и поздно занявшійся дѣлами городской общины; кромѣ того, большинство ихъ партіи погибло на войнѣ. Такъ какъ походы въ то время совершались по списку гражданъ и стратигами ставились лица неопытные въ военномъ дѣлѣ, но почитавшіеся за славу отцовъ, то постоянно въ походѣ погибали двѣ или три тысячи человѣкъ; такимъ образомъ, терпѣла ущербъ партія благоразумныхъ какъ въ народѣ, такъ въ числѣ достаточныхъ. И вотъ, во всемъ прочемъ стало управленіе, по сравненію съ тѣмъ, что было раньше, менѣе придерживаться законовъ, лишь избраніе девяти архонтовъ не было затронуто; только на шестой годъ послѣ смерти Ефіальта рѣшили заранѣе выбирать лицъ, подвергаемыхъ жеребьевкѣ въ девять архонтовъ, и изъ числа зевгитовъ, и первымъ изъ нихъ архонтомъ былъ Мнисиѳидъ. Всѣ предыдущіе были изъ всадниковъ и пентакосіомедим-

*) Пропущено приблизительно: <подвергнутый остракисму и уличенный въ сочувствіи мидянамъ, бѣжалъ къ царю и умеръ въ изгнаніи>.

**) Можетъ быть: слишкомъ вялый.

ἦσαν, οἱ <δὲ> ζευγῖται τὰς ἐγκυκλίους ἦρχον, εἰ μή τι παρεωρᾶτο
3 τῶν ἐν τοῖς νόμοις. ἔτει δὲ πέμπτῳ μετὰ ταῦτα ἐπὶ Λυσικράτους
ἄρχοντος οἱ τριάκοντα δικασταὶ κατέστησαν πάλιν οἱ καλούμενοι κατὰ
4 δήμους· καὶ τρίτῳ μετὰ τοῦτον ἐπὶ Ἀντιδότου διὰ τὸ πλῆθος τῶν
πολιτῶν, Περικλέους εἰπόντος, ἔγνωσαν μὴ μετέχειν τῆς πόλεως ὃς
ἂν μὴ ἐξ ἀμφοῖν ἀστοῖν ᾖ γεγονώς.

XXVII. μετὰ δὲ ταῦτα πρὸς τὸ δημαγωγεῖν ἐλθόντος Περικλέους
καὶ πρῶτον εὐδοκιμήσαντος ὅτε κατηγόρησε τὰς εὐθύνας Κίμωνος
στρατηγοῦντος νέος ὤν, δημοτικωτέραν ἔτι συνέβη γενέσθαι τὴν πολι-
τείαν· καὶ γὰρ τῶν Ἀρεοπαγιτῶν ἔνια παρείλετο, καὶ μάλιστα προὔ-
τρεψεν τὴν πόλιν ἐπὶ τὴν ναυτικὴν δύναμιν, ἐξ ἧς συνέβη θαρρή-
σαντας τοὺς πολλοὺς ἅπασαν τὴν πολιτείαν μᾶλλον ἄγειν εἰς αὑτούς.
2 μετὰ δὲ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν ἐνὸς δεῖν πεντηκοστῷ ἔτει ἐπὶ
Ποθοδώρ[ου] ἄρχοντος ὁ πρὸς Πελοποννησίους ἐνέστη πόλεμος, ἐν ᾧ
κατακληθεὶς ὁ δῆμος ἐν τῷ ἄστει καὶ συνεθισθεὶς ἐν ταῖς στρατείαις
μισθοφορεῖν, τὰ μὲν ἑκὼν τὰ δὲ ἄκων προῆρητο τὴν πολιτείαν διοι-
3 κεῖν αὐτός. ἐποίησε δὲ καὶ μισθοφόρα τὰ δικαστήρια Περικλῆς πρῶτος,
ἀντιδημαγωγῶν πρὸς τὴν Κίμωνος εὐπορίαν. ὁ γὰρ Κίμων, ἅτε τυραν-
νικὴν ἔχων οὐσίαν, πρῶτον μὲν τὰς κοινὰς λῃτουργίας ἐλῃτούργει
λαμπρῶς, ἔπειτα τῶν δημοτῶν ἔτρεφε πολλούς· ἐξῆν γὰρ τῷ βουλο-
μένῳ Λακιαδῶν καθ' ἑκάστην τὴν ἡμέραν ἐλθόντι παρ' αὐτὸν ἔχειν
τὰ μέτρια, ἔτι δὲ τὰ χωρία πάντα ἄφρακτα ἦν, ὅπως ἐξῇ τῷ βουλο-
4 μένῳ τῆς ὀπώρας ἀπολαύειν. πρὸς δὴ ταύτην τὴν χορηγίαν ἐπιλειπό-
μενος ὁ Περικλῆς τῇ οὐσίᾳ, συμβουλεύσαντος αὐτῷ Δαμωνίδου τοῦ
Οἰῆθεν (ὃς ἐδόκει τῶν πολλῶν εἰσηγητὴς εἶναι τῷ Περικλεῖ· διὸ
καὶ ὠστράκισαν αὐτὸν ὕστερον), ἐπεὶ τοῖς ἰδίοις ἥττατο, διδόναι τοῖς
5 πολλοῖς τὰ αὑτῶν, κατεσκεύασε μισθοφορὰν τοῖς δικασταῖς· ἀφ' ὧν
αἰτιῶνταί τινες χείρους [106]) γενέσθαι, κληρουμένων ἐπιμελῶς ἀεὶ
μᾶλλον τῶν τυχόντων ἢ τῶν ἐπιεικῶν ἀνθρώπων. ἤρξατο δὲ μετὰ
ταῦτα καὶ τὸ δεκάζειν, πρώτου καταδείξαντος Ἀνύτου μετὰ τὴν ἐν

[106]) χείρω papyr. Cf. Ka. 184.

новъ, зевгиты же отправляли должности общеочередныя, если только въ чемъ не допускалось противозаконія. На пятый же годъ послѣ этого, при архонтѣ Лисикратѣ, снова поставлены были тридцать такъ называемыхъ судей для димовъ. И на третій годъ спустя это, при Антидотѣ, вслѣдствіе многочисленности гражданъ, по предложенію Перикла, рѣшено было, чтобы имѣлъ гражданскія права тотъ лишь, чьи родители, какъ отецъ, такъ и мать, природные аѳиняне.

XXVII. Послѣ этого, когда Периклъ вступилъ на поприще димогога и впервые достигъ, будучи еще молодымъ, популярности своимъ обвиненіемъ Кимона въ неправильной отчетности за стратигію, государственный строй сдѣлался еще болѣе димократическимъ: онъ отнялъ кое-какія права у Ареопагитовъ, а въ особенности его дѣломъ было то, что онъ заставилъ государство заняться усиленіемъ морского вѣдомства, вслѣдствіе чего простой народъ, увѣрившись въ своихъ силахъ, тѣмъ болѣе сталъ перетягивать на свою сторону все государственное устройство. На сорокъ девятый годъ послѣ морского сраженія у Саламина, при архонтѣ Пиѳодорѣ, началась война съ пелопоннисцами, во время которой народъ, замкнутый въ городѣ и привыкшій получать жалованье во время походовъ, частію добровольно, частію противъ воли, рѣшилъ взять управленіе государствомъ въ свои руки. Периклъ же первый установилъ и жалованье судьямъ, борясь изъ-за расположенія народа съ богатствомъ Кимона. Дѣло въ томъ, что Кимонъ, владѣя царскимъ богатствомъ, прежде всего всѣ государственныя повинности справлялъ блестящимъ образомъ, затѣмъ же давалъ жизненныя средства многимъ изъ своихъ димотовъ: всякій Лакіадъ, хотя бы каждый день, могъ являться къ нему, чтобы получить чего нужно въ мѣру, а, еще помимо того, его земельные участки не были обнесены оградою, чтобы всякій желающій могъ срывать себѣ плоды. Такихъ издержекъ Периклу не позволяли его средства, и онъ, по совѣту Дамонида изъ Ои (этотъ послѣдній во многомъ, кажется, былъ совѣтникомъ Перикла: потому-то его и подвергли потомъ остракисму), чтобы, разъ не въ силахъ онъ соперничать изъ собственныхъ средствъ, далъ народу изъ его же достоянія, ввелъ жалованье для судей: вотъ здѣсь-то, какъ говорятъ нѣкоторые, и причина, почему они стали хуже, такъ какъ теперь къ жеребьевкѣ усердно и постоянно стали тѣсниться скорѣе первые попавшіеся, чѣмъ люди благоразумные. Послѣ этого начались и подкупы, первый примѣръ которыхъ показалъ Анитъ послѣ своей стратигіи

Πύλῳ στρατηγίαν. κρινόμενος γὰρ ὑπό τινων διὰ τὸ ἀποβαλεῖν Πύλον, δεκάσας τὸ δικαστήριον ἀπέφυγεν.

XXVIII. ἕως μὲν οὖν Περικλῆς προειστήκει τοῦ δήμου βελτίω τὰ κατὰ τὴν πολιτείαν ἦν, τελευτήσαντος δὲ Περικλέους πολὺ χείρω. πρῶτον γὰρ τότε προστάτην ἔλαβεν ὁ δῆμος οὐκ εὐδοκιμοῦντα παρὰ τοῖς ἐπιεικέσιν· ἐν δὲ τοῖς πρότερον χρόνοις ἀεὶ διετέλουν οἱ ἐπιεικεῖς
2 δημαγωγοῦντες. ἐξ ἀρχῆς μὲν γὰρ καὶ πρῶτος ἐγένετο προστάτης τοῦ δήμου Σόλων, δεύτερος δὲ Πεισίστρατος τῶν εὐγενῶν καὶ γνωρίμων [107]). καταλυθείσης δὲ τῆς τυραννίδος Κλεισθένης τοῦ γένους ὢν τῶν Ἀλκμεωνιδῶν, καὶ τούτῳ μὲν οὐδεὶς ἦν ἀντιστασιώτης, ὡς ἐξέπεσον οἱ περὶ τὸν Ἰσαγόραν. μετὰ δὲ ταῦτα τοῦ μὲν δήμου προειστήκει Ξάνθιππος, τῶν δὲ γνωρίμων Μιλτιάδης· ἔπειτα Θεμιστοκλῆς καὶ Ἀριστείδης· μετὰ δὲ τούτους Ἐφιάλτης μὲν τοῦ δήμου, Κίμων δ' ὁ Μιλτιάδου τῶν εὐπόρων· εἶτα Περικλῆς μὲν τοῦ δήμου, Θουκυ-
3 δίδης δὲ τῶν ἑτέρων, κηδεστὴς ὢν Κίμωνος. Περικλέους δὲ τελευτήσαντος τῶν μὲν ἐπιφανῶν προειστήκει Νικίας, ὁ ἐν Σικελίᾳ τελευτήσας, τοῦ δὲ δήμου Κλέων ὁ Κλεαινέτου, ὃς δοκεῖ μάλιστα διαφθεῖραι τὸν δῆμον ταῖς ὁρμαῖς, καὶ πρῶτος ἐπὶ τοῦ βήματος ἀνέκραγε καὶ ἐλοιδορήσατο καὶ περιζωσάμενος ἐδημηγόρησε, τῶν ἄλλων ἐν κόσμῳ λεγόντων. εἶτα μετὰ τούτους τῶν μὲν ἑτέρων Θηραμένης ὁ Ἄγνωνος, τοῦ δὲ δήμου Κλεοφῶν ὁ λυροποιός, ὃς καὶ τὴν διωβελίαν ἐπόρισε πρῶτος· καὶ χρόνον μέν τινα διεδίδοτο [108]), μετὰ δὲ ταῦτα κατέλυσε [109]) Καλλικράτης Παιανιεὺς πρῶτος ὑποσχόμενος ἐπιθήσειν πρὸς τοῖν δυοῖν ὀβολοῖν ἄλλον ὀβολόν. τούτων μὲν οὖν ἀμφοτέρων θάνατον κατέγνωσαν ὕστερον· εἴωθεν γὰρ, κἂν ἐξαπατηθῇ τὸ πλῆθος, ὕστερον μισεῖν τούς τι προαγαγόντας ποιεῖν αὐτοὺς τῶν μὴ καλῶς ἐχόντων.
4 ἀπὸ δὲ Κλεοφῶντος ἤδη διεδέχοντο συνεχῶς τὴν δημαγωγίαν οἱ μάλιστα βουλόμενοι θρασύνεσθαι καὶ χαρίζεσθαι τοῖς πολλοῖς πρὸς
5 τὰ παραυτίκα βλέποντες. δοκοῦσι δὲ βέλτιστοι γεγονέναι τῶν Ἀθήνησι πολιτευσαμένων μετὰ τοὺς ἀρχαίους Νικίας καὶ Θουκυδίδης καὶ Θηραμένης· καὶ περὶ μὲν Νικίου καὶ Θουκυδίδου πάντες σχεδὸν ὁμολογοῦσιν ἄνδρας γεγονέναι οὐ μόνον καλοὺς κἀγαθοὺς ἀλλὰ καὶ πολιτικοὺς καὶ τῇ πόλει πάσῃ πατρικῶς χρωμένους, περὶ δὲ Θηρα-

---

[107]) Delendum censet Ka. 184—185. [[τῶν εὐγεν. κ. γνωρ]].
[108]) διεδίδου papyr. Cf. Ka. 185
[109]) Cf. W.-M. II, 214 «der ungenaue ausdruck des Aristoteles».

пилосской; его судили нѣкоторые изъ гражданъ за потерю Пилоса, онъ же подкупилъ судей и избѣжалъ кары.

XXVIII. Пока Периклъ продолжалъ стоять во главѣ народа управленіе государствомъ было еще довольно хорошее, послѣ же его смерти дѣла пошли хуже. Дѣло въ томъ, что тогда впервые народъ взялъ себѣ представителя изъ среды не пользовавшихся доброю славою у благоразумныхъ; въ болѣе раннія же времена постоянно димагогами были благоразумные граждане. Въ началѣ вѣдь, при томъ же и первымъ, представителемъ народа былъ Солонъ, вторымъ Писистратъ, оба—люди благородные и знатные. По устраненіи тиранніи имъ былъ Клисѳенъ изъ рода Алкмеонидовъ, не имѣвшій себѣ противоборца послѣ изгнанія исагоровцевъ. Затѣмъ во главѣ народа стоялъ Ксанѳиппъ, во главѣ же знатныхъ Мильтіадъ; затѣмъ слѣдуютъ Ѳемистоклъ и Аристидъ, потомъ на сторонѣ народа Ефіальтъ, изъ партіи достаточныхъ Кимонъ Мильтіадовъ, далѣе Периклъ—глава народа, Ѳукидидъ, своякъ Кимона,—противоположной партіи. Послѣ смерти Перикла во главѣ знатныхъ стоялъ Никія, погибшій въ Сикеліи, во главѣ народа Клеонъ Клеэнетовъ, который, кажется, болѣе всего испортилъ народъ и своими порывами и тѣмъ, что первый съ ораторской трибуны сталъ кричать и ругаться, притомъ говорилъ къ народу подпоясавшись какъ за работаю, между тѣмъ какъ остальные говорили въ приличномъ видѣ. Послѣ этихъ обоихъ, во главѣ знатныхъ стоялъ Ѳирамент Агнонов, а во главѣ народа—Клеофонтъ, дѣлатель лиръ, который первый ввелъ раздачу двухъ оволовъ; нѣкоторое время они раздавались, потомъ же Калликратъ Пэаніецъ вывелъ это обыкновеніе, первый обѣщавъ прибавить къ двумъ оволамъ еще третій. И того и другого позже приговорили къ смертной казни: обыкновенно вѣдь народъ, если и дастъ себя обмануть, потомъ питаетъ ненависть къ тѣмъ, кто его заставилъ поступить дурно. Начиная съ Клеофонта вождями народа все время были тѣ, кто болѣе всего былъ склоненъ разыгрывать своей дерзостью роль въ государствѣ и, обращая вниманіе лишь на нужды данной минуты, угождать народу. Кажется же, что лучшими изъ государственныхъ людей въ Аѳинахъ были, если не считать древнихъ, Никія, Ѳукидидъ и Ѳирамент. Что касается Никіи и Ѳукидида, почти всѣ согласны въ томъ, что это были не только люди во всѣхъ отношеніяхъ прекрасные, но и государственные умы, и что относились они ко всей городской общинѣ по отечески. Относительно Ѳирамена однако существуетъ раз-

μένους διὰ τὸ συμβῆναι κατ᾽ αὐτὸν ταραχώδεις [110]) τὰς πολιτείας ἀμφισβήτησις τῆς κρίσεώς ἐστι. δοκεῖ μέντοι [111]) μὴ παρέργως ἀποφαινομένοις οὐχ ὥσπερ αὐτὸν διαβάλλουσι πάσας τὰς πολιτείας καταλύειν, ἀλλὰ πάσας προάγειν ἕως μηδὲν παρανομοῖεν, ὡς δυνάμενος πολιτεύεσθαι κατὰ πάσας, ὅπερ ἐστὶν ἀγαθοῦ πολίτου ἔργον, παρανομούσαις δὲ οὐ συγχωρῶν ἀλλ᾽ ἀπεχθανόμενος.

XXIX. ἕως μὲν οὖν ἰσόρροπα τὰ πράγματα κατὰ τὸν πόλεμον ἦν, διεφ[ύλαττον] τὴν δημοκρατίαν. ἐπεὶ δὲ μετὰ τὴν ἐν Σικελίᾳ γενομένην συμφορὰν ἰσχυρότερα τὰ τῶν Λακεδαιμονίων ἐγένετο διὰ τὴν πρὸς βασιλέα συμμαχίαν, ἠναγκάσθησαν κ[ινήσα]ντες τὴν δημοκρατίαν καταστῆσαι τὴν ἐπὶ τῶν τετρακοσίων πολιτείαν, εἰπό[ντο]ς τὸν μὲν πρὸ τοῦ ψηφίσματος λόγον Μηλοβίου, τὴν δὲ γνώμην γράψαντος Πυθοδώρου το[ῦ Ἐπι]ζ[ή]λου [112]), μάλιστα δὲ συμπεισθέντων τῶν πολλῶν διὰ τὸ νομίζειν βασιλέα [μᾶλλο]ν ἑαυτοῖς συμπολεμήσειν, ἐὰν δι᾽ ὀλίγων ποιήσωνται τὴν πολιτείαν. ‖ ἦν δὲ τὸ ψήφισμα τοῦ **pag. XII.** Πυθοδώρου τοιόνδε. τὸν δῆμον ἑλέσθαι μετὰ τῶν προυπαρχόντων δέκα
2 προβούλων ἄλλους εἴκοσι ἐκ τῶν ὑπὲρ τετταράκοντα ἔτη γεγονότων, οἵτινες, ὀμόσαντες ἢ μὴν συγγράψειν ἃ ἂν ἡγῶνται βέλτιστα εἶναι
3 τῇ πόλει, συγγράψουσι περὶ τῆς σωτηρίας· ἐξεῖναι δὲ καὶ τῶν ἄλλων τῷ βουλομένῳ γράφειν, ἵν᾽ ἐξ ἁπάντων αἱρῶνται τὸ ἄριστον. Κλειτοφῶν δὲ τὰ μὲν ἄλλα καθάπερ Πυθόδωρος εἶπεν, προσαναζητῆσαι δὲ τοὺς αἱρεθέντας ἔγραψεν καὶ τοὺς πατρίους νόμους οὓς Κλεισθένης ἔθηκεν ὅτε καθίστη τὴν δημοκρατίαν, ὅπως <ἂν> ἀκούσαντες καὶ τούτων βουλεύσωνται τὸ ἄριστον, ὡς οὐ δημοτικὴν ἀλλὰ
4 παραπλησίαν οὖσαν τὴν Κλεισθένους πολιτείαν τῇ Σόλωνος. οἱ δ᾽ αἱρεθέντες πρῶτον μὲν ἔγραψαν ἐπάναγκες εἶναι τοὺς πρυτάνεις ἅπαντα τὰ λεγόμενα περὶ τῆς σωτηρίας ἐπιψηφίζειν, ἔπειτα τὰς τῶν παρανόμων γραφὰς καὶ τὰς εἰσαγγελίας καὶ τὰς προσκλήσεις ἀνεῖλον, ὅπως ἂν οἱ ἐθέλοντες Ἀθηναίων συμβουλεύωσι περὶ τῶν προκειμένων· ἐὰν δέ τις τούτων χάριν ἢ ζημιοῖ ἢ προσκαλῆται ἢ εἰσάγῃ εἰς δικαστήριον, ἔνδειξιν αὐτοῦ εἶναι καὶ ἀπαγωγὴν πρὸς τοὺς στρατηγούς, τοὺς δὲ στρατηγοὺς παραδοῦναι τοῖς ἕνδεκα θανάτῳ ζη-

---

[110]) S. suppl. <εἶναι>. Cf. Ka. 185 («συμβαίνειν gleich γενέσθαι»).
[111]) Ka. 185—186; S. μέν<τοι> τοῖς.
[112]) [Ἀναφλ]υ[σ]τίου Bl. Cf. Ka. 186. W.-M. II, 173 n. 9.

ногласіе въ виду того, что государственныя отношенія въ это время были смятены. Тѣмъ не менѣе, если кто будетъ судить не по мимолетному впечатлѣнію, окажется, что онъ вовсе не подкапывался подъ всѣ попытки государственнаго устройства, какъ обвиняютъ его, а напротивъ поддерживалъ каждую изъ нихъ, пока она не нарушала законовъ; этимъ онъ доказывалъ лишь то, что, если, съ одной стороны, могъ бы служить государству при любомъ строѣ, какъ и долженъ добрый гражданинъ, зато съ другой—онъ беззаконному строю не желалъ подчиняться, а преслѣдовалъ его своею ненавистью.

XXIX. Итакъ, пока положеніе дѣлъ на войнѣ было для обѣихъ сторонъ равное, аѳиняне хранили димократію. Когда же послѣ Сикелійской невзгоды поднялись шансы лакедэмонянъ вслѣдствіе союзничества царя, они принуждены были, отодвинувъ димократію на второй планъ, установить правленіе четырехсотъ. Рѣчь по этому поводу передъ постановленіемъ говорилъ Миловій, предложеніе внесъ Пиѳодоръ Епизиловъ, народъ же былъ приведенъ къ согласію убѣжденіемъ, что царь скорѣе поможетъ имъ въ войнѣ, если введена будетъ олигархія. Было же предложеніе Пиѳодора слѣдующее: «народъ пусть изберетъ къ имѣющимся десяти провуламъ еще двадцать человѣкъ, имѣющихъ свыше сорока лѣтъ отъ роду, чтобы они, давъ присягу написать наилучшіе, по ихъ разумѣнію, для государства законы, написали ихъ для его спасенія: можетъ же и изъ иныхъ каждый желающій представить свой проектъ, чтобы изъ всѣхъ можно было выбрать наилучшій». Клитофонтъ присоединился къ мнѣнію Пиѳодора, но предложилъ, чтобы избранные просмотрѣли и законы временъ предковъ, которые установилъ Клисѳенъ, учреждая димократію, дабы, прослушавъ и ихъ, потомъ дать наилучшія постановленія,—какъ будто не димократическая была конституція Клисѳена, а схожа съ Солоновской. Избранные сначала написали, чтобы притановъ обязали пускать на голоса все, что предлагается для спасенія государства, а затѣмъ, чтобы отмѣнили обвиненія въ противозаконныхъ предложеніяхъ, чрезвычайныя жалобы и призывы въ судъ, и этимъ дали возможность всякому желающему изъ аѳинянъ давать совѣты по поводу предложеннаго. «Буде же кто за такіе совѣты накажетъ, либо призоветъ или приведетъ въ судъ, то пусть онъ будетъ указанъ и отведенъ къ стратигамъ, а стратиги пусть предадутъ его одиннадцати для смертной

ζ μιῶσαι. μετὰ δὲ ταῦτα τὴν πολιτείαν διέταξαν τόνδε <τὸν> τρόπον· τὰ μὲν χρήματα <τὰ> προσιόντα μὴ ἐξεῖναι ἄλλοσε δαπανῆσαι ἢ εἰς τὸν πόλεμον, τὰς δ' ἀρχὰς ἀμίσθους ἄρχειν ἁπάσας ἕως ἂν ὁ πόλεμος ᾖ, πλὴν τῶν ἐννέα ἀρχόντων καὶ τῶν πρυτάνεων οἳ ἂν ὦσιν. τούτους δὲ φέρειν τρεῖς ὀβολοὺς ἕκαστον τῆς ἡμέρας. τὴν δ' ἄλλην πολιτείαν ἐπιτρέψαι πᾶσαν Ἀθηναίων τοῖς δυνατωτάτοις καὶ τοῖς σώμασιν καὶ τοῖς χρήμασιν λητουργεῖν μὴ ἔλαττον πεντακισχιλίων [113]), ἕως ἂν ὁ πόλεμος ᾖ. κυρίους δ' εἶναι τούτους καὶ συνθήκας συντίθεσθαι πρὸς οὓς ἂν ἐθέλωσιν· ἐλέσθαι δ' ἐκ τῆς φυλῆς ἑκάστης δέκα ἄνδρας ὑπὲρ τετταράκοντα ἔτη γεγονότας, οἵτινες καταλέξουσι τοὺς πεντακισχιλίους ὀμόσαντες καθ' ἱερῶν τελείων.

XXX. οἱ μὲν οὖν αἱρεθέντες ταῦτα συνέγραψαν. κυρωθέντων δὲ τούτων εἵλοντο σφῶν αὐτῶν οἱ πεντακισχίλιοι τοὺς ἀναγράψοντας τὴν πολιτείαν ἑκατὸν ἄνδρας. οἱ δ' αἱρεθέντες ἀνέγραψαν καὶ ἐξήνεγκαν
2 τάδε. βουλεύειν μὲν κατ' ἐνιαυτὸν τοὺς ὑπὲρ τριάκοντα ἔτη γεγονότας ἄνευ μισθοφορᾶς· τούτων δ' εἶναι τοὺς στρατηγοὺς καὶ τοὺς ἐννέα ἄρχοντας καὶ τὸν ἱερομνήμονα καὶ τοὺς ταξιάρχους καὶ ἱππάρχους καὶ φυλάρχους καὶ ἄρχοντας εἰς τὰ φρούρια καὶ ταμίας τῶν ἱερῶν χρημάτων τῇ θ[εῷ] καὶ τοῖς ἄλλοις θεοῖς δέκα καὶ ἑλληνοταμίας [114]) καὶ τῶν ἄλλων ὁσίων χρημάτων ἁπάντων εἴκοσιν οἳ διαχειριοῦσιν [115]) καὶ ἱεροποιοὺς καὶ ἐπιμελητὰς δέκα ἑκατέρους· αἱρεῖσθαι δὲ πάντας τούτους ἐκ προκρίτων, ἐκ τῶν ἀεὶ βουλευόντων πλείους προκρίνοντας, τὰς δ' ἄλλας ἀρχὰς ἁπάσας κληρωτὰς εἶναι καὶ μὴ ἐκ τῆς βουλῆς· τοὺς δὲ ἑλληνοταμίας οἳ ἂν διαχειρίζωσι τὰ χρήματα μὴ συμβου-
3 λεύειν. βουλὰς δὲ ποιῆσαι τέτταρας ἐκ τῆς ἡλικίας τῆς εἰρημένης εἰς τὸν λοιπὸν χρόνον, καὶ τούτων τὸ λαχὸν μέρος βουλεύειν, νεῖμαι δὲ καὶ τοὺς ἄλλους πρὸς τὴν λῆξιν ἑκάστην. τοὺς δ' ἑκατὸν ἄνδρας διανεῖμαι σφᾶς τε αὐτοὺς καὶ τοὺς ἄλλους τέτταρα μέρη ὡς ἰσαίτατα
4 καὶ διακληρῶσαι, καὶ εἰς ἐνιαυτὸν βουλεύειν <τοὺς λαχόντας. βουλεύεσθαι> [116]) δὲ ᾗ ἂν δοκῇ αὐτοῖς ἄριστα ἔξειν περί τε τῶν χρημάτων, ὅπως ἂν σῷα ᾖ καὶ εἰς τὸ δέον ἀναλίσκηται, καὶ περὶ τῶν ἄλλων

---

[113]) ἢ πεντακισχιλίοις.
[114]) [[καὶ ἑλληνοταμίας]] S. Ka. 187.
[115]) [[ν οἳ διαχειριοῦσιν]] S. Ka. 187—188. Suspectum. W.-M. II, 117 n. 12.
[116]) Bl. Cf. Ka. 188. <βουλεύεσθαι> S.

казни». Затѣмъ они относительно государственнаго строя постановили слѣдующее. «Входящія деньги впредь не будетъ разрѣшено тратить на иное, какъ на войну, должностныя лица всѣ будутъ безъ жалованья, пока продолжается война, кромѣ девяти архонтовъ и очередныхъ притановъ: имъ ежедневно будетъ отпускаться по три овола. Въ другихъ отношеніяхъ, пока продолжается война, государственное управленіе передается въ руки наиболѣе и физически и имущественно способныхъ къ общественной службѣ аѳинянъ въ числѣ не менѣе пяти тысячъ Они будутъ имѣть верховное право заключать договоры съ кѣмъ пожелаютъ. Избрать же по этому изъ каждой филы по десяти человѣкъ свыше сорока лѣтъ отъ роду, чтобы они составили списокъ означенныхъ пяти тысячъ, принеся присягу передъ отборными жертвами».

XXX. Итакъ выбранные составили вышеизложенный проектъ. По полученіи имъ законной силы, пять тысячъ изъ своей среды избрали сто человѣкъ для написанія плана государственнаго устройства. Эти избранные написали и вынесли въ собраніе слѣдующее. «Ежегодно будутъ засѣдать въ совѣтѣ граждане старше тридцати лѣтъ, не получая за это жалованья: изъ нихъ будутъ избираться стратиги, девять архонтовъ, іеромнимонъ, таксіархи, иппархи, филархи, коменданты крѣпостей, казначеи священной казны богини и другихъ боговъ — числомъ десять, казначеи елдинской казны и другихъ всѣхъ свѣтскихъ суммъ—двадцать человѣкъ, которые будутъ завѣдывать ими, наконецъ іеропіи и эпимелиты, и тѣхъ и другихъ по десяти. Всѣ они будутъ выбираться голосованіемъ изъ заранѣе избранныхъ, причемъ изъ очередныхъ совѣтниковъ будетъ предизбираться бо́льшее количество; другія же всѣ должности будутъ замѣщаться по жеребію и не изъ совѣта. Совѣтъ будетъ впредь подѣленъ на четыре смѣны изъ людей означеннаго выше возраста, и изъ нихъ очередные будутъ засѣдать; подѣлены же будутъ и всѣ остальные совѣтники, каждый въ свою смѣну. Избранные сто человѣкъ должны какъ сами себя, такъ и остальныхъ гражданъ, подѣлить на четыре, по возможности равныя, части и предпринять жеребьевку, а тѣ, на кого падетъ жеребій, будутъ засѣдать годъ. Они обязаны будутъ наблюдать и за казною, какъ имъ покажется наилучшимъ, чтобы она хранилась въ цѣлости и расходовалась на дѣйствительныя нужды, а также за тѣмъ, чтобы все другое было въ наилучшемъ видѣ, на-

ὡς ἂν δύνωνται ἄριστα· ἐὰν δὲ τι ϑέλωσιν βουλεύσασϑαι μετὰ πλειόνων, ἐπεισκαλεῖν ἕκαστον ἐπείσκλητον ὃν ἂν ἐϑέλῃ τῶν ἐκ τῆς αὐτῆς ἡλικίας· τὰς δ' ἕδρας ποιεῖν τῆς βουλῆς κατὰ πενθήμερον, ἐὰν μὴ δέωνται πλειόνων. Πληροῦν [117]) δὲ τὴν βουλὴν τοὺς ἐννέα ἄρχοντας, τὰς δὲ χειροτονίας κρίνειν πέντε τοὺς λαχόντας ἐκ τῆς βουλῆς, καὶ ἐκ τούτων ἕνα κληροῦσϑαι καϑ' ἑκάστην <τὴν> ἡμέραν τὸν ἐπιψηφιοῦντα. κληροῦν δὲ τοὺς λαχόντας πέντε τοὺς ἐϑέλοντας προσελϑεῖν ἐναντίον τῆς βουλῆς, πρῶτον μὲν ἱερῶν, δεύτερον δὲ κῆρυξιν, τρίτον πρεσβείαις, τέταρτον τῶν ἄλλων· τὰ δὲ τοῦ πολέμου ὅταν δέῃ ἀκληρωτὶ προσαγαγόντας τοὺς στρατηγοὺς χρηματίζεσϑαι. τὸν δὲ μὴ ἰόντα εἰς τὸ βουλευτήριον τῶν βουλευόντων τὴν ὥραν τὴν προρρηϑεῖσαν ὀφείλειν ὁραχμὴν τῆς ἡμέρας ἑκάστης, ἐὰν μὴ εὑρισκόμενος [118]) ἄφεσιν τῆς βουλῆς ἀπῇ. ‖

pag. XIII. XXXI. ταύτην μὲν οὖν εἰς τὸν μέλλοντα χρόνον ἀγέγραψαν τὴν πολιτείαν, ἐν δὲ τῷ παρόντι καιρῷ τήνδε· βουλεύειν μὲν τετρακοσίους κατὰ τὰ πάτρια, τετταράκοντα ἐξ ἑκάστης <τῆς> φυλῆς, ἐκ προκρίτων [ο]ὓς ἂν ἕλωνται οἱ φυλέται τῶν ὑπὲρ τριάκοντα ἔτη γεγονότων. τούτους δὲ τάς τε ἀρχὰς καταστῆσαι καὶ περὶ τοῦ ὅρκου ὅντινα χρὴ ὀμόσαι γράψαι [119]), <καὶ> περὶ τῶν νόμων καὶ τῶν εὐθυ[ν]ῶν καὶ τῶν ἄλλων πράττειν ᾗ ἂν ἡγῶνται [συμ]φέρειν. τοῖς δὲ νόμοις οἳ ἂν τεθῶσιν περὶ τῶν πολιτικῶν χρῆσϑαι καὶ μὴ ἐξεῖναι μετακινεῖν μηδ' ἑτέρους ϑέσϑαι. τῶν δὲ στρατηγῶν τὸ νῦν εἶναι τὴν αἵρεσιν ἐξ ἁπάντων ποιεῖσϑαι τῶν πεντακισχιλίων, τὴν δὲ βουλὴν ἐπειδὰν καταστῇ ποιήσασαν ἐξέτασιν <ἐν> ὅπλοις ἑλέσϑαι δέκα ἄνδρας καὶ γραμματέα τούτοις, τοὺς δὲ αἱρεϑέντας ἄρχειν τὸν εἰσιόντα ἐνιαυτὸν αὐτοκράτορας, καὶ ἂν [120]) τι δέωνται συμβουλεύεσϑαι μετὰ τῆς βουλῆς. ἑλέσϑαι δὲ καὶ ἵππαρχον ἕνα [121]) καὶ φυλάρχους δέκα· τὸ δὲ λοιπὸν τὴν αἵρεσιν ποιεῖσϑαι τούτων τὴν βουλὴν κατὰ τὰ γεγραμμένα. τῶν δ' ἄλλων ἀρχῶν πλὴν τῆς βουλῆς καὶ τῶν στρατηγῶν μὴ ἐξεῖναι μήτε τούτοις μήτε ἄλλῳ μηδενὶ πλεῖον ἢ ἅπαξ ἄρξαι τὴν αὐτὴν ἀρχήν.

---

[117]) W.-M. II, 117. n. 13. κληροῦν S. papyrum secutus. Suspectum. Ka. 189 mavult συνάγειν.

[118]) εὑρόμενος S.

[119]) Suspectum. Ka. 190.

[120]) κἄν S.

[121]) <καὶ ταξιάρχους δέκα> W.-M. II, 115 n. 9.

сколько это отъ нихъ зависитъ. Если же пожелаютъ они засѣдать въ большемъ числѣ, всякій изъ нихъ можетъ призвать на засѣданіе со стороны кого угодно изъ гражданъ того же возраста. Засѣданія же совѣта должны происходить на пятый день, буде не окажется нужда въ большемъ количествѣ. Созывать совѣтъ будутъ девять архонтовъ. Судить объ исходѣ голосованій будутъ пять совѣтниковъ, на кого падетъ жеребій; изъ нихъ же одинъ жеребіемъ назначается ежедневно для пусканія на голоса предложеній. Эти же пять избранныхъ жеребіемъ устанавливаютъ очередь между желающими за чѣмъ-либо обратиться къ совѣту, причемъ первая очередь принадлежитъ дѣламъ религіознымъ, вторая глашатаямъ, третья посольствамъ, четвертая прочимъ дѣламъ. Въ дѣлахъ же войны, если окажется необходимымъ, слѣдуетъ безъ жеребія допускать въ совѣтъ стратиговъ съ ихъ докладами. А кто изъ совѣтниковъ не будетъ ходить въ совѣтъ на назначенныя засѣданія, тотъ долженъ заплатить за каждый день по драхмѣ, если только онъ не отсутствовалъ, получивъ отпускъ отъ совѣта».

XXXI. Итакъ эту конституцію они составили для будущаго времени, временно же, для настоящаго, предложили слѣдующую: «По примѣру предковъ въ совѣтѣ будутъ засѣдать четыреста человѣкъ, по сорока изъ каждой филы, избранные изъ заранѣе выбранныхъ филетами гражданъ старшихъ тридцати лѣтъ. Они будутъ назначать чиновниковъ и напишутъ, какую присягу слѣдуетъ принести, и относительно законовъ, отчетности и другихъ дѣлъ они будутъ поступать такъ, какъ имъ покажется полезнымъ. Законами же, которые будутъ постановлены въ дѣлахъ государственнаго управленія, они должны пользоваться, не имѣя права измѣнять ихъ или издавать новые. Стратиги нынѣшніе должны быть избраны изъ всѣхъ пяти тысячъ; совѣтъ же, когда онъ составится, долженъ произвести счетъ вооруженнымъ и избрать десять человѣкъ и къ нимъ письмоводителя; а избранные будутъ управлять въ наступающемъ году съ неограниченной властью и, если гдѣ будетъ необходимо, засѣдать вмѣстѣ съ совѣтомъ. Избранъ же долженъ быть и одинъ иппархъ и десять филарховъ; а на будущее время они будутъ избираться совѣтомъ согласно записанному постановленію. Изъ прочихъ должностей, кромѣ совѣта и стратиговъ, никто, ни изъ вышеназванныхъ, ни изъ иныхъ не будетъ замѣщать чаще чѣмъ одинъ разъ ту же долж-

εἰς δὲ τὸν ἄλλον χρόνον, ἵνα νεμεθῶσιν οἱ τετρακόσιοι εἰς τὰς τέτταρας λήξεις, ὅταν τοῖς ἀστοῖς[122]) γίγνηται μετὰ τῶν ἄλλων[123]) βουλεύειν, διανειμάντων αὐτοὺς οἱ ἑκατὸν ἄνδρες.

XXXII. οἱ μὲν οὖν ἑκατὸν οἱ ὑπὸ τῶν πεντακισχιλίων αἱρεθέντες ταύτην ἀνέγραψαν τὴν πολιτείαν. ἐπικυρωθέντων δὲ τούτων ὑπὸ τοῦ πλήθους, ἐπιψηφίσαντος Ἀριστομάχου, ἡ μὲν βουλὴ <ἡ> ἐπὶ Καλλίου πρὶν διαβουλεῦσαι κατελύθη μηνὸς Θαργηλιῶνος τετράδι ἐπὶ δέκα, οἱ δὲ τετρακόσιοι εἰσήεσαν ἐνάτῃ φθίνοντος Θαργηλιῶνος. ἔδει δὲ τὴν εἰληχυῖαν τῷ κυάμῳ βουλὴν εἰσιέναι τετράδι ἐπὶ δέκα
2 Σκιροφοριῶνος. ἡ μὲν οὖν ὀλιγαρχία τοῦτον κατέστη τὸν τρόπον ἐπὶ Καλλίου μὲν ἄρχοντος, ἔτεσιν δ' ὕστερον τῆς τῶν τυράννων ἐκβολῆς μάλιστα ἑκατόν, αἰτίων μάλιστα γενομένων Πεισάνδρου καὶ Ἀντιφῶντος καὶ Θηραμένους, ἀνδρῶν καὶ γεγενημένων εὖ καὶ συνέσει καὶ
pag. γνώμῃ δοκούντων διαφέρειν. ‖ γενομένης δὲ ταύτης τῆς πολιτείας οἱ
XIV. μὲν πεντακισχίλιοι λόγῳ μόνον ἠρέθησαν, οἱ δὲ τετρακόσιοι μετὰ τῶν
3 δέκα τῶν αὐτοκρατόρων εἰσελθόντες εἰς τὸ βουλευτήριον ἦρχόν <τε>[124]) τῆς πόλεως καὶ πρὸς Λακεδαιμονίους πρεσβευσάμενοι κατελύοντο τὸν πόλεμον ἐφ' οἷς ἑκάτεροι τυγχάνουσιν ἔχοντες. οὐχ ὑπακουόντων[125]) δ' ἐκείνων, εἰ μὴ καὶ τὴν ἀρχὴν τῆς [θ]αλάττης ἀφήσουσιν, οὕτως ἀπέστησαν.

XXXIII. μῆνας μὲν οὖν ἴσως τέτταρας διέμεινεν ἡ τῶν τετρακοσίων πολιτεία, καὶ ἦρξεν ἐξ αὐτῶν Μνησίλοχος δίμηνον ἐπὶ Θεοπόμπου ἄρχοντος, <ὅς> ἦρξε τοὺς ἐπιλοίπους δέκα μῆνας. ἡττηθέντες δὲ τῇ περὶ Ἐρετρίαν ναυμαχίᾳ κ[αὶ] τῆς Εὐβοίας ἀποστάσης ὅλης πλὴν Ὠρεοῦ, χαλεπῶς ἐνεγκόντες ἐπὶ τῇ συμφορᾷ μάλιστα τῶν προγεγενημένων (πλείω γὰρ ἐκ τῆς Εὐβοίας ἢ τῆς Ἀττικῆς ἐτύγχανον ὠφελούμενοι), κατέλυσαν τοὺς τετρακοσίους καὶ τὰ πράγματα παρέδωκαν τοῖς πεντακισχιλίοις τοῖς ἐκ τῶν ὅπλων, ψηφισάμενοι μηδε-
2 μίαν ἀρχὴν εἶναι μισθοφόρον. αἰτιώτατοι δ' ἐγένοντο τῆς καταλύσεως Ἀριστοκράτης καὶ Θηραμένης, οὐ συναρεσκόμενοι τοῖς ὑπὸ τῶν τετρακοσίων γινομένοις· ἅπαντα γὰρ δι' αὐτῶν ἔπραττον, οὐδὲν ἐπανα-

---

[122]) [[τοῖς]] αὐτοῖς S.

[123]) «scil. τῶν ἐν Σάμῳ» K. W., quibus S. Kenyonem secutus non assentitur. Cf. W.-M. II, 121 n. 19. Ka. 190.

[124]) Ka. 190.

[125]) Bl. ὑπακου[σά]ντων S.

ность. На будущее же время означенные четыреста должны быть подѣлены на четыре смѣны, что будетъ сдѣлано, когда оставшимся въ городѣ придется засѣдать съ прочими гражданами въ совѣтѣ; ихъ подѣлить должна коммиссія ста человѣкъ».

XXXII. Сто человѣкъ, избранные пятью тысячами, составили такой проектъ государственнаго устройства. Когда все это было утверждено народомъ, причемъ на голоса оно пущено было Аристомахомъ, совѣтъ, засѣдавшій при Калліи, былъ распущенъ до истеченія должностного срока въ мѣсяцѣ Θаргиліонѣ 14 го числа, а четыреста вступили въ него 22-го Θаргиліона; выбранный же бобовымъ жеребіемъ совѣтъ долженъ былъ бы вступить въ должность 14-го числа Скирофоріона. Такимъ образомъ установилась олигархія, при архонтѣ Калліи, не болѣе чѣмъ черезъ сто лѣтъ послѣ изгнанія тирановъ, главнымъ образомъ по винѣ Писандра, Антифонта и Θирамена, людей благороднаго происхожденія, притомъ считавшихся выдающимися по уму и разсудительности. Когда установился этотъ государственный порядокъ, пять тысячъ были избраны лишь на словахъ, четыреста же, войдя вмѣстѣ съ десятью, имѣвшими неограниченную власть, въ совѣтъ, стали управлять городомъ и, послав посольство къ лакедэмонянамъ, хотѣли окончить войну на условіяхъ удержанія обѣими сторонами того, чѣмъ въ данный моментъ владѣли. Тѣ, однако, не хотѣли принять ихъ предложеній, разъ они не отказываются отъ власти надъ моремъ, и поэтому они отказались отъ своей попытки.

XXXIII. Приблизительно четыре мѣсяца просуществовало государственное управленіе четырехсотъ и былъ изъ числа ихъ архонтомъ Мнисилохъ два мѣсяца изъ архонтства Θеопомта, управлявшаго остальные десять мѣсяцевъ. Побѣжденные въ морскомъ сраженіи при Еретріи и потерявъ всю Еввію, кромѣ Орея, аѳиняне были такъ огорчены этою потерею, какъ еще никакою раньше (вѣдъ они извлекали изъ Еввіи больше пользы, чѣмъ изъ Аттики); они свергли управленіе четырехсотъ и передали власть въ руки пяти тысячамъ, имѣвшимъ полное вооруженіе, издавъ при этомъ постановленіе, чтобы ни одна должность не была вознаграждаема жалованьемъ Главными виновниками этого переворота были Аристократъ и Θирменъ, недовольные тѣмъ, что происходило при четырехстахъ: дѣло въ томъ, что тѣ все рѣшали своевластно и ни въ чемъ не обраща-

φέροντες τοῖς πεντακισχιλίοις. δοκοῦσι δὲ καλῶς πολιτευθῆναι κατὰ τούτους τοὺς καιρούς, πολέμου τε καθεστῶτος καὶ ἐκ τῶν ὅπλων τῆς πολιτείας οὔσης.

XXXIV. τούτους μὲν οὖν ἀφείλετο τὴν πολιτείαν ὁ δῆμος διὰ τάχους· ἔτει δ' ἑβδόμῳ μετὰ τὴν τῶν τετρακοσίων κατάλυσιν, ἐπὶ Καλλίου τοῦ Ἀγγελῆθεν ἄρχοντος, γενομένης τῆς ἐν Ἀργινούσαις ναυμαχίας, πρῶτον μὲν τοὺς δέκα στρατηγοὺς τοὺς τῇ ναυμαχίᾳ νικῶντας συνέβη κριθῆναι μιᾷ χειροτονίᾳ πάντας, τοὺς μὲν οὐδὲ συνναυμαχήσαντας, τοὺς δ' ἐπ' ἀλλοτρίας νεὼς σωθέντας, ἐξαπατηθέντος τοῦ δήμου διὰ τοὺςπαροργίσαντας· ἔπειτα βουλομένων Λακεδαιμονίων ἐκ Δεκελείας ἀπιέναι καὶ ἐφ' οἷς ἔχουσιν ἑκάτεροι [126]) εἰρήνην ἄγειν,
pag. XV. ἔνιοι μὲν ἐσπούδαζον, τὸ δὲ πλῆθος ‖ οὐχ ὑπήκουσεν ἐξαπατηθέντες ὑπὸ Κλεοφῶντος, ὃς ἐκώλυσε γενέσθαι τὴν εἰρήνην ἐλθὼν εἰς τὴν
2 ἐκκλησίαν μεθύων καὶ θώρακα ἐνδεδυκώς, οὐ φάσκων ἐπιτρέψειν, ἐὰν μὴ πάσας ἀφῶσι Λακεδαιμόνιοι τὰς πόλεις. οὐ χρησάμενοι δὲ καλῶς τότε τοῖς πράγμα[σι] μετ' οὐ πολὺν χρόνον ἔγνωσαν τὴν ἁμαρ-[τίαν]. τῷ γὰρ ὕστερον ἔτει ἐπ' Ἀλεξίου ἄρχοντος ἠτύχησαν τὴν ἐν
3 Αἰγὸς ποταμοῖς ναυμαχίαν, ἐξ ἧς συνέβη κύριον γενόμενον τῆς πόλεως Λύσανδρον καταστῆσαι τοὺς τριάκοντα τρόπῳ τοιῷδε. τῆς εἰρήνης γενομένης αὐτοῖς ἐφ' ᾧ τε πολιτεύσονται τὴν πάτριον πολιτειαν, οἱ μὲν δημοτικοὶ διασῴζειν ἐπειρῶντο τὸν δῆμον, τῶν δὲ γνωρίμων οἱ μὲν ἐν ταῖς ἑταιρείαις ὄντες καὶ τῶν φυγάδων οἱ μετὰ τὴν εἰρήνην κατελθόντες ὀλιγαρχίας ἐπεθύμουν, οἱ δ' ἐν ἑταιρείᾳ μὲν οὐδεμιᾷ συγκαθεστῶτες [ἄ]λλως δὲ δοκοῦντες οὐδενὸς ἐπιλείπεσθαι τῶν πολιτῶν τὴν πάτριον πολιτείαν ἐζήτουν· ὧν ἦν μὲν καὶ Ἀρχῖνος καὶ Ἄνυτος καὶ Κλειτοφῶν καὶ Φορμίσιος καὶ ἕτεροι πολλοί, προειστήκει δὲ μάλιστα Θηραμένης. Λυσάνδρου δὲ προσθεμένου τοῖς ὀλιγαρχικοῖς καταπλαγεὶς ὁ δῆμος ἠναγκάσθη χειροτονεῖν τὴν ὀλιγαρχίαν. ἔγραψε δὲ τὸ ψήφισμα Δρακοντίδης Ἀφιδναῖος.

XXXV. οἱ μὲν οὖν τριάκοντα τοῦτον τὸν τρόπον κατέστησαν ἐπὶ Πυθοδώρου ἄρχοντος. γενόμενοι δὲ κύριοι τῆς πόλεως τὰ μὲν ἄλλα

---

[126]) ἀπιέναι ἐφ' οἷς —καὶ εἰρήνην. Ka. 191.

лись къ пяти тысячамъ. Кажется, хорошо управлялись аѳиняне въ это время; была война и государственное управленіе было въ рукахъ гражданъ, имѣвшихъ возможность вооружиться.

XXXIV. И вотъ у тѣхъ, о комъ сказано выше, народъ очень скоро отнялъ государственную власть. На седьмой же годъ послѣ свержения четырехсотъ, при архонтѣ Калліи изъ Ангелы, послѣ морского сраженія при Аргинусахъ, прежде всего слѣдуетъ отмѣтить осужденіе десяти стратиговъ, одержавшихъ побѣду на морѣ, однимъ голосованіемъ, притомъ даже и тѣхъ, которые не принимали участія въ въ битвѣ или спаслись на чужихъ судахъ: дѣло въ томъ, что народъ былъ обманутъ людьми, натравившими его на стратиговъ. Затѣмъ, когда лакедэмоняне собирались уйти изъ Декеліи и, на условіяхъ удержанія обѣими сторонами того, чѣмъ въ данный моментъ владѣютъ, заключить миръ, нѣкоторые стали усердно поддерживать это предложеніе, народъ же не послушался, обманутый Клеофонтомъ, который помѣшалъ заключенію мира, явившись въ народное собраніе пьяный и въ панцырѣ, говоря, что не допуститъ такого рѣшенія, разъ и лакедэмоняне не освободятъ всѣхъ городовъ. Не воспользовавшись, какъ слѣдуетъ, тогда обстоятельствами, вскорѣ послѣ они поняли свою ошибку. На слѣдующій годъ, при архонтѣ Алексіи, они имѣли несчастіе въ морскомъ сраженіи при Эгоспотамахъ, вслѣдствіе чего Лисандръ овладѣлъ городомъ и поставилъ тридцать правителей. Произошло это такъ. Миръ былъ заключенъ съ тѣмъ, чтобы введенъ былъ государственный строй по примѣру предковъ. Въ то же время народная партія пробовала сохранить власть народу, благородные, принимавшіе участіе въ клубахъ, равно какъ и изгнанники, вернувшіеся по заключеніи мира, стремились къ олигархіи, тѣ же, что̀ не принадлежали ни къ какому клубу и въ то же время по значенію своему, казалось, не уступали никому изъ гражданъ, добивались государственнаго строя по примѣру предковъ. Въ ихъ числѣ были Архинъ, Анитъ, Клитофонтъ, Формисій и многіе другіе; главнымъ же вождемъ ихъ былъ Ѳирамент. Такъ какъ Лисандръ сталъ на сторону олигарховъ, народъ былъ напуганъ и принужденъ отдать голоса свои за олигархію. Предложеніе это внесъ Драконтидъ Афиднэецъ.

XXXV. Итакъ тридцать такимъ образомъ получили власть при архонтѣ Пиоодорѣ. Ставъ во главѣ народа они

τὰ δοξαντα περι της πολιτειας παρεωρων, πεντακοσίους δὲ βουλευτὰς καὶ τὰς ἄλλας ἀρχὰς καταστήσαντες ἐκ προκρίτων ἐκ τῶν χιλίων [127]) καὶ προσελόμενοι σφίσιν αὐτοῖς τοῦ Πειραιέως ἄρχοντας δέκα καὶ τοῦ δεσμωτηρίου φύλακας ἔνδεκα καὶ μαστιγοφόρους τρια[κ]οσίους
2 ὑπηρέτας, κατεῖχον τὴν πόλιν δι' ἑαυτῶν. τὸ μὲν οὖν πρῶτον μέτριοι τοῖς πολίταις [ἦ]σα[ν] καὶ προσεποιοῦντο διώκειν τὴν πάτριον πο[λιτ]είαν, καὶ τούς τ' Ἐφιάλτου καὶ Ἀρχεστράτου νόμους τοὺς περὶ τῶν Ἀρεοπαγιτῶν καθεῖλον ἐξ Ἀρείου [πάγου], καὶ τῶν Σόλωνος θεσμῶν ὅσοι διαμφισβητ[ήσ]εις εἶχον, καὶ τὸ κῦρος ὃ ἦν ἐν τοῖς δικασταῖς κ[ατέ]λυσαν, ὡς ἐπανορθοῦντες καὶ ποιοῦντ[ες] ἀναμφισβήτητον τὴν
pag. πολιτείαν· οἶο[ν] <τὸν> ‖ περὶ τοῦ δοῦναι τὰ ἑαυτοῦ ᾧ ἂν ἐθέλῃ
XVI. κύριον ἐποίησαν [128]) καθάπαξ, τὰς δὲ προσούσας δυσκολίας ἐὰν μὴ μανιῶν ἢ γηρῶν [129]) ἢ γυναικὶ πιθόμενος' ἀφεῖλον, ὅπως μὴ ἦ τοῖς
3 συκοφάνταις ἔφοδος· ὁμοίως δὲ τοῦτ' ἔδρων καὶ ἐπὶ τῶν ἄλλων. κατ ἀρχὰς μὲν οὖν ταῦτ' ἐποίουν καὶ τοὺς συκοφάντας καὶ τοὺς τῷ δήμῳ πρὸς χάριν ὁμιλοῦντας παρὰ τὸ βέλτιστον καὶ [130]) κακοπράγμονας ὄντας καὶ πονηροὺς ἀνήρουν, ἐφ' οἷς ἔχαιρεν ἡ πόλις γιγνομένοις,
4 ἡγούμενοι τοῦ βελτίστου χάριν ποιεῖν αὐτούς. ἐπεὶ δὲ τὴν πόλιν ἐγκρατέστερον ἔσχον, οὐδενὸς ἀπείχοντο τῶν πολιτῶν, ἀλλ' ἀπέκτεινον τοὺς καὶ ταῖς οὐσίαις καὶ τῷ γένει καὶ τοῖς ἀξιώμασιν προέχοντας, ὑπεξαιρούμενοί τε τὸν φόβον καὶ βουλόμενοι τὰς οὐσίας διαρπάζειν· καὶ χρόνου διαπεσόντος βραχέος οὐκ ἐλάττους ἀνηρήκεσαν ἢ χιλίους πεντακοσίους.

XXXVI. οὕτως δὲ τῆς πόλεως ὑποφερομένης Θηραμένης ἀγανακτῶν ἐπὶ τοῖς γινομένοις τῆς μὲν ἀσελγείας αὐτοῖς παρήνει παύσασθαι μεταδοῦναι δὲ τῶν πραγμάτων τοῖς βελτίστοις. οἳ δὲ πρῶτον ἐναντιωθέντες, ἐπεὶ διεσπάρησαν οἱ λόγοι πρὸς τὸ πλῆθος καὶ πρὸς τὸν Θηραμένην οἰκείως εἶχον οἱ πολλοί, φοβηθέντες μὴ προστάτης γενόμενος τοῦ δήμου καταλύσῃ τὴν δυναστείαν καταλέγουσιν τῶν πολιτῶν
2 τρισχιλίους ὡς μεταδώσοντες τῆς πολιτείας. Θηραμένης δὲ πάλιν ἐπιτιμᾷ καὶ τούτοις, πρῶτον μὲν ὅτι, βουλόμενοι μεταδοῦναι τοῖς

---

[127]) ἐκ προκρίτων πενταχισχιλίων? Ka. 192—193.
[128]) ποιήσαντες S. papyrum secutus. Ka. 192.
[129]) Ka. 193. γήρως <ἕνεκα>. S.
[130]) Delendum censet Ka. 194.

не обращали вниманія на всѣ прочія постановленія о государственномъ строѣ, назначили пятьсотъ совѣтниковъ и другихъ должностныхъ лицъ изъ предварительно избранныхъ тысячи гражданъ и присоединивъ къ себѣ въ помощники десять правителей Пирэя, одиннадцать тюремныхъ стражей и триста палочниковъ, управляли городомъ своевластно. Первоначально они были умѣренны по отношенію къ гражданамъ и придавали себѣ видъ, будто добиваются государственнаго строя по примѣру предковъ. Они убрали съ Ареопага законы Ефіальта и Архестрата объ Ареопагитахъ и уничтожили тѣ изъ законовъ Солона, которые давали поводъ къ сомнѣніямъ, устранили также и произволъ судей,—какъ бы имѣя въ виду придать государственнымъ законамъ больше послѣдовательности и неоспоримости. Такъ, напримѣръ, законъ объ отдачѣ своего имущества кому бы то ни было они сдѣлали абсолютно дѣйствительнымъ, уничтоживъ усложнявшія его прибавки «если только онъ не слабоуменъ, не дряхлъ и не подпалъ вліянію женщины», чтобы не было подступу сикофантамъ; точно также они поступали и въ другихъ дѣлахъ. Такого рода были первыя ихъ дѣйствія. Они устраняли сикофантовъ, людей ухаживавшихъ за народомъ во вредъ его высшимъ интересамъ, хитрыхъ дѣльцовъ и негодяевъ. Горожане радовались этимъ дѣламъ и думали, что они поступаютъ такъ во имя высшихъ идеаловъ. Когда же городъ оказался крѣпче въ ихъ рукахъ, они не стали щадить гражданъ, но казнили людей, выдававшихся богатствомъ, благородствомъ или вліяніемъ, съ одной стороны, чтобы отдѣлаться отъ страха за самихъ себя, съ другой, желая разграбить имущество. Прошло лишь короткое время, какъ они успѣли погубить не менѣе тысячи пятисотъ человѣкъ.

XXXVI. Когда, такимъ образомъ, городъ шелъ по пути къ гибели, Ѳирменъ сталъ возмущаться совершавшимися дѣлами и совѣтовалъ имъ прекратить безчинства и дать участіе въ управленіи лучшимъ гражданамъ. Они сначала противились, но когда рѣчи эти распространились и проникли въ народъ, а тотъ сталъ Ѳирамену сочувствовать, они испугались, какъ бы, сдѣлавшись вождемъ народа, онъ не уничтожилъ ихъ власти, и избрали изъ числа гражданъ три тысячи, чтобы предоставить имъ участіе въ государственномъ управленіи. Ѳирменъ, и потому поводу, обращается къ нимъ опять съ укорами: во первыхъ, почему, желая предоставить власть благоразумнымъ гражданамъ, они пре-

ἐπιεικέσι, τρισχιλίοις μόνοις μεταδιδόασι, ὡς ἐν τούτῳ τῷ πλήθει τῆς ἀρετῆς ὡρισμένης, ἔπειθ' ὅτι δύο τὰ ἐναντιώτατα ποιοῦσιν, βίαιόν τε τὴν ἀρχὴν καὶ τῶν ἀρχομένον ἥττω κατασκευάζοντες. οἳ δὲ τούτων μὲν ὠλιγώρησαν, τὸν δὲ κατάλογον τῶν τρισχιλίων πολὺν μὲν χρόνον ὑπερεβάλλοντο καὶ παρ' αὑτοῖς ἐφύλαττον τοὺς ἐγνωσμένους, ὅτε δὲ καὶ δόξειεν αὐτοῖς ἐκφέρειν τοὺς μὲν ἐξήλειφον τῶν <ἐγ>γεγραμμένων, τοὺς δ' ἀντενέγραφον τῶν ἔξωθεν.

XXXVII. ἤδη δὲ τοῦ χειμῶνος ἐνεστῶτος καταλαβόντος Θρασυβούλου μετὰ τῶν φυγάδων Φυλήν, καὶ κατὰ τὴν στρατείαν [131]) ἣν ἐξήγαγον οἱ τριάκοντα κακῶς ἀποχωρήσαντες, ἔγνωσαν τῶν μὲν ἄλλων τὰ ὅπλα παρελέσθαι, Θηραμένην δὲ διαφθεῖραι τόνδε <τὸν> τρόπον.

pag. XVII. νόμους εἰσήνεγκαν εἰς τὴν βουλὴν δύο κελεύοντες ‖ ἐπιχειροτονεῖν, ὧν ὁ μὲν εἷς αὐτοκράτορας ἐποίει τοὺς τριάκοντα τῶν πολιτῶν ἀποκτεῖναι τοὺς μὴ τοῦ καταλόγου μετέχοντας τῶν τρισχιλίων, ὁ δ' ἕτερος ἐκώλυε κοινωνεῖν τῆς παρούσης πολιτείας ὅσοι τυγχάνουσιν τὸ ἐν Ἠετιωνείᾳ τεῖχος κατασκάψαντες, ἢ τοῖς τετρακοσίοις ἐναντίον τι πράξαντες [[ἢ]] τοῖς κατασκευάσασι τὴν προτέραν ὀλιγαρχίαν· ὧ[ν] ἐτύγχανεν ἀμφοτέρων κεκοινωνηκὼς ὁ Θηραμένης, ὥστε συνέβαινεν ἐπικυρωθέντων τῶν νόμων ἔξω τε γίγνεσθαι τῆς πολιτείας αὐτὸν καὶ τοὺς
2 τριάκοντα κυρίους εἶναι θανατοῦντας. ἀναιρεθέντος δὲ Θηραμένους τά τε ὅπλα παρείλοντο πάντων πλὴν τῶν τρισχιλίων καὶ ἐν τοῖς ἄλλοις πολὺ πρὸς ὠμότητα καὶ πονηρίαν ἐπέδοσαν [132]). — — πρέσβεις πέμψαντες εἰς Λακεδαίμονα τοῦ τε Θηραμένους κατηγόρουν καὶ βοηθεῖν αὐτοῖς ἠξίουν· ὧν ἀκούσαντες οἱ Λακεδαιμόνιοι Καλλίβιον ἀπέστειλαν ἁρμοστὴν καὶ στρατιώτας ὡς ἑπτακοσίους, οἳ τὴν ἀκρόπολιν ἐλθόντες ἐφρούρουν.

XXXVIII. μετὰ δὲ ταῦτα καταλαβόντων τῶν ἀπὸ Φυλῆς τὴν Μουνιχίαν, καὶ νικησάντων μάχῃ τοὺς μετὰ τῶν τριάκοντα βοηθήσαντας, ἐπαναχωρήσαντες μετὰ τὸ[ν] κίνδυνον οἱ ἐκ τοῦ ἄστεως καὶ συναθροισθέντες εἰς τὴν ἀγοράν, τῇ ὑστεραίᾳ τοὺς μὲν τριάκοντα κατέλυσαν, αἱροῦνται δὲ δέκα τῶν πολιτῶν αὐτοκράτορας ἐπὶ τὴν

---

[131]) Ka. 195. στρατιὰν. S.

[132]) Quae sequuntur sunt qui vv. dd. ad caput XXXVI pertinere censeant. In margine (ab Aristotele) scripta fuisse potuerunt secundum Ka. 196, ut XXXVIII, 2 explicaretur. «This asyndeton is not justifiable on the same grounds as νόμους εἰσήνεγκαν in the second sentence of this chapter». (S).

доставляютъ ее лишь тремъ тысячамъ, будто добродѣтель замкнута въ предѣлахъ лишь этого числа, во вторыхъ, онъ имъ указывалъ, что вѣдь они дѣлаютъ два взаимно противоположнѣйшихъ дѣла, съ одной стороны, создавая насильственную власть, съ другой, дѣлая ее гораздо слабѣе подчиненныхъ. Они же не обратили на это вниманія, но откладывали изо дня на день обнародываніе списка трехъ тысячъ въ теченіи долгаго времени; сколько разъ они не рѣшали опубликовать списокъ, они все продолжали въ немъ то вычеркивать кого-либо изъ записанныхъ, то замѣщать вписанныхъ сторонними.

403

XXXVII. Настала уже зима, когда Ѳрасивулъ вмѣстѣ съ изгнанниками занялъ Филу, тридцать же послѣ неудачи, которую они имѣли въ предпринятомъ ими походѣ, рѣшили у всѣхъ прочихъ гражданъ отнять оружіе, а Ѳирамена погубить слѣдующимъ образомъ. Они внесли въ совѣтъ два закона для голосованія о нихъ: по одному—тридцати передавалась неограниченная власть казнить любого изъ незанесенныхъ въ списокъ трехъ тысячъ, по другому—воспрещалось участіе въ существующемъ составѣ правительства тѣмъ, кто принимали участіе въ уничтоженіи стѣнъ Іетіоніи, или кто въ чемъ либо противодѣйствовалъ четыремстамъ, устроившимъ прежнее олигархическое управленіе. Ѳирменъ приходился соучастникомъ и въ томъ, и въ другомъ, такъ что, по утвержденіи законовъ, онъ оказался внѣ числа полноправныхъ и тридцать оказались въ правѣ предать его смерти. Послѣ гибели Ѳирамена они отняли оружіе у всѣхъ, за исключеніемъ трехъ тысячъ, и во всѣхъ отношеніяхъ еще значительно усилили свою жестокость и разнузданность.— — —Они послали пословъ въ Лакедэмонъ, перечисляли вины Ѳирамена и просили помочь имъ. Лакедэмоняне послушались ихъ просьбы и послали армоста Калливія съ приблизительно семью стами солдатъ; они пришли и засѣли гарнизономъ въ акрополѣ.

XXXVIII. Когда затѣмъ пришедшіе изъ Филы заняли Мунихію и одержали верхъ въ сраженіи съ войскомъ, которое тридцать вывели на помощь ей, горожане, отступивъ послѣ сраженія и устроивъ на площади совѣщаніе, на слѣдующій день свергли тридцать, и выбрали изъ числа гражданъ десять облеченныхъ неограниченною властью для

[τοῦ πο]λέμου κατάλυσιν. οἱ δὲ παραλαβόντες τὴν ἀρχὴν ἐφ' οἷς μὲν ἠρέθησαν οὐκ ἔπραττον, ἔπε[μ]πο[ν] [133]) δ' εἰς Λακεδαίμονα
2 βοήθειαν μεταπε[μπόμ]ενοι καὶ χρήματα δανειζόμενοι. χαλεπῶς δὲ [φε]ρόντων ἐπὶ τούτοις τῶν ἐν τῇ πολιτείᾳ, φο[βούμεν]οι μὴ καταλυθῶσιν τῆς ἀρχῆς καὶ βουλόμενοι κατ[απλῆξ]αι τοὺς ἄλλους (ὅπερ ἐγένετο) συλλαβόντες [Δ]ημάρετον οὐδενὸς ὄντα δεύτερον τῶν πολιτῶν ἀπέκτειναν, καὶ τὰ πράγματα βεβαίως εἶχον, συναγωνιζομένου Καλλιβίου τε καὶ τῶν Πελοποννησίων τῶν παρόντων καὶ πρὸς τού[τοι]ς ἐνίων τῶν ἐν τοῖς ἱππεῦσι· τούτων γάρ τινες μάλιστα τῶν πολιτῶν
3 ἐσπούδαζον μὴ κατελθεῖν τοὺς ἀπὸ Φυλῆς. ὡς δ' οἱ τὸν Πειραιέα καὶ τὴν Μουνιχίαν ἔχοντες, ἀποστάντος ἅπαντος τοῦ δήμου πρὸς αὐτούς, ἐπεκράτουν τῷ πολέμῳ, τότε καταλύσαντες τοὺς δέκα τοὺς πρώτους αἱρεθέντας, ἄλλους εἵλοντο δέκα τοὺς βελτίστους εἶναι δοκοῦντας, ἐφ' ὧν
pag. XVIII. συνέβη καὶ τὰς διαλύσεις ‖ γενέσθαι καὶ κατελθεῖν τὸν δῆμον, συναγωνιζομένων καὶ προθυμουμένων τούτων. προειστήκεσαν δ' αὐτῶν μάλιστα Ῥίνων τε ὁ Παιανιεὺς καὶ Φάυλλος ὁ Ἀχερδούσιος· οὗτοι γὰρ
4 πρίν τε [134]) Παυσανίαν [[τ']] ἀφικέσθαι διεπέμ[ποντ]ο πρὸς τοὺς ἐν Πειραεῖ καὶ ἀφικομένου συνεσπούδασαν τὴν κάθοδον. ἐπὶ πέρας γὰρ ἤγαγε τὴν εἰρήνην καὶ τὰς διαλύσεις Παυσανίας ὁ τῶν Λακεδαιμονίων βασιλεὺς μετὰ τῶν δέκα διαλλακτῶν τῶν ὕστερον ἀφικομένων ἐκ Λακεδαίμονος, οὓς αὐτὸς ἐσπούδασεν ἐλθεῖν. οἱ δὲ πε[ρὶ] τὸν Ῥίνωνα διά τε τὴν εὔνοιαν τὴν εἰς τὸν δ[ῆμον] ἐπηνέθησαν καὶ λαβόντες τὴν ἐπιμέλειαν ἐν ὀλιγαρχίᾳ τὰς εὐθύνας ἔδοσαν [ἐ]ν δημοκρατίᾳ, καὶ οὐδεὶς οὐδὲν ἐνεκάλεσε[ν αὐ]τοῖς οὔτε τῶν ἐν ἄστει μεινάντων οὔτε τῶν ἐκ Πειραιέως κατελθόντων, ἀλλὰ διὰ ταῦτα καὶ στρατηγὸς εὐθὺς ἠρέθη Ῥίνων.

XXXIX. ἐγένοντο δ' αἱ διαλύσεις ἐπ' Εὐκλείδου ἄρχοντος κατὰ τὰς συνθήκας τάσδε. τοὺς βουλομένους Ἀνηναίων τῶν ἐν ἄστει μεινάντων ἐξοικεῖν ἔχειν Ἐλευσῖνα ἐπιτίμους ὄντας καὶ κυρίους καὶ
2 αὐτοκράτορας ἑ[αυ]τῶν καὶ τὰ αὑτῶν καρπουμένους. τὸ δ' ἱερὸν εἶναι κοινὸν ἀμφοτέρων, ἐπιμελεῖσθαι δὲ Κήρυκας καὶ Εὐμολπίδας κατὰ τὰ πάτρια. μὴ ἐξεῖναι δὲ μήτε τοῖς Ἐλευσινόθεν εἰς τὸ ἄστυ μήτε τοῖς ἐκ τοῦ ἄστεως Ἐλευσίναδε ἰέναι πλὴν μυστηρίοις ἑκατέρους.

---

[133]) Bl. Ka. 196. ἐπέ[στελλον] S asterisco propriam esse coniecturam notans.

[134]) <τε> [[ἤ]] S.

прекращенія войны. Послѣдніе приняли власть въ свои руки, но не только не исполнили того, для чего были избраны, но даже послали посольство въ Лакедэмонъ, прося помощи и дѣлая заемъ. Такъ какъ граждане были возмущены этимъ ихъ поведеніемъ, они, боясь, какъ бы не отняли у нихъ власти и думая напугать прочихъ (что имъ и удалось), схватили Димарета, одного изъ наиболѣе вліятельныхъ гражданъ и предали его казни; власть свою они держали крѣпко въ рукахъ, такъ какъ имъ помогалъ Калливій, находившіеся въ городѣ пелопоннисцы и, помимо ихъ, нѣкоторые изъ всадниковъ: дѣло въ томъ, что между послѣдними были лица всего менѣе желавшіе, чтобы пришедшіе изъ Филы вернулись въ городъ. Когда же завладѣвшіе Пирэемъ и Мунихіею, къ которымъ перешелъ весь народъ, стали одолѣвать въ борьбѣ, тогда десять въ началѣ избранныхъ были свержены и выбраны другіе десять, считавшіеся наилучшими гражданами. При нихъ то, благодаря ихъ стараніямъ и ревности, удалось примирить обѣ партіи и дать народу возможность вернуться въ городъ. Самыми замѣтными среди нихъ были Ринонъ Пэаніецъ и Фаиллъ Ахердусіецъ. Они еще до прихода Павсаніи вели сношенія съ находившимися въ Пирэѣ и, по приходѣ его, помогли вмѣстѣ съ нимъ возвращенію. Дѣло въ томъ, что Павсанія, царь лакедэмонянъ, содѣйствовалъ заключенію мира и примиренію вмѣстѣ съ десятью примирителями, прибывшими изъ Лакедэмона по его собственной настоятельной просьбѣ. Ринонъ же и товарищи его за благорасположеніе свое къ народу были похвалены; принявъ управленіе при олигархіи, они отдали отчетъ при димократіи, и никто ни изъ оставшихся въ городѣ, ни изъ пришедшихъ изъ Пирэя ни въ чемъ ихъ не обвинялъ, а Ринонъ даже за заслуги свои тотчасъ былъ выбранъ въ стратиги.

XXXIX. Произошло это примиреніе при архонтѣ Евклидѣ по слѣдующему договору. «Желающимъ аѳинянамъ изъ городской партіи предоставляется Елевсинъ для переселенія туда, при сохраненіи всѣхъ правъ гражданства, полной личной свободы и безпрепятственнаго пользованія имуществомъ. Святилище должно принадлежать какъ той, такъ и другой партіи, завѣдывать же имъ должны Кирики и Евмолпиды по примѣру предковъ. Ни поселившимся въ Елевсинѣ не будетъ разрѣшено приходить въ городъ, ни горожанамъ въ Елевсинъ, кромѣ какъ тѣмъ и другимъ для

συντελεῖν δὲ ἀπὸ τῶν προσιόντων εἰς τὸ συμμαχικὸν καθάπερ τοὺς
3 ἄλλους Ἀθηναίους. ἐὰν δέ τινες τῶν ἀπιόντων οἰκίαν λαμβάνωσιν
Ἐλευσῖνι, συμπείθειν τὸν κεκτημένον· ἐὰν δὲ μὴ συμβαίνωσιν ἀλ-
λήλοις, τιμητὰς ἑλέσθαι τρεῖς ἑκάτερον, καὶ ἦντιν' ἂν οὗτοι τάξωσιν
τιμὴν λαμβάνειν. Ἐλευσινίων δὲ συνοικεῖν οὓς ἂν οὗτοι βούλωνται.
4 τὴν δ' ἀπογραφὴν εἶναι τοῖς βουλομένοις ἐξοικεῖν, τοῖς μὲν ἐπιδ[η-
μ]οῦσιν ἀφ' ἧς ἂν ὀμόσωσιν τοὺς ὅρκους δ[έκ]α ἡμερῶν, τὴν δ' ἐξοί-
κησιν εἴκοσι, τοῖς δ' ἀποδημοῦσι ἐπειδὰν ἐπιδημήσωσιν κατὰ ταὐτά.
5 μὴ ἐξεῖναι δὲ ἄρχειν μηδεμίαν ἀρχὴν τῶν ἐν τῷ ἄστει τὸν Ἐλευ-
σῖνι κατοικοῦντα, πρὶν ἂν ἀπογράψηται πάλιν ἐν τῷ ἄστει κατοικεῖν.
pag. τὰς δὲ ‖ δίκας τοῦ φόνου εἶναι κατὰ τὰ πάτρια, εἴ τίς τινα αὐτο-
XIX. 6 χειρίᾳ [135]) ἔκτεινεν ἢ ἔτρωσεν. τῶν δὲ παρελθυθότων μηδενὶ πρὸς
μηδένα μνησικακεῖν ἐξεῖναι, πλὴν πρὸς τοὺς τριάκοντα καὶ τοὺς δέκα
καὶ τοὺς ἕνδεκα καὶ τοὺς τοῦ Πειραιέως ἄρξαντας, μηδὲ πρὸς τού-
τους, ἐὰν διδῶσιν εὐθύνας. εὐθύνας δὲ δοῦναι τοὺς μὲν ἐν Πειραιεῖ
ἄρξαντας ἐν τοῖς ἐν Πειραιεῖ, τοὺς δ' ἐν τῷ ἄστει ἐν τοῖς τὰ τιμή-
ματα παρεχομένοις. εἶθ' οὕτως ἐξοικεῖν τοὺς ἐθέλοντας. τὰ δὲ χρή-
ματα ἃ ἐδανείσαντο εἰς τὸν πόλεμον ἑκατέρους ἀποδοῦναι χωρίς.

XL. γενομένων δὲ τοιούτων τῶν διαλύσεων, καὶ φοβουμένων ὅσοι
μετὰ τῶν τριάκοντα συνεπολέμησαν, καὶ πολλῶν μὲν ἐπινοούντων
ἐξοικεῖν ἀναβαλλομένων δὲ τὴν ἀπογραφὴν εἰς τὰς ἐσχάτας ἡμέρας,
ὅπερ εἰώθασιν ποιεῖν ἅπαντες, Ἀρχῖνος συνιδὼν τὸ πλῆθος καὶ βουλό-
μενος κατασχεῖν αὐτοὺς ὑφεῖλε τὰς ὑπολοίπους ἡμέρας τῆς ἀπογρα-
φῆς, ὥστε συναναγκασθῆναι μένειν πολλοὺς ἄκοντας ἕως ἐθάρρησαν.
2 καὶ δοκεῖ τοῦτό τε πολιτεύσασθαι καλῶς Ἀρχῖνος, καὶ μετὰ ταῦτα
γραψάμενος τὸ ψήφισμα τὸ Θρασυβούλου παρανόμων, ἐν ᾧ μετεδίδου
τῆς πολιτείας πᾶσι τοῖς ἐκ Πειραιέως συγκατελθοῦσι, ὧν ἔνιοι φανε-
ρῶς ἦσαν δοῦλοι, καὶ τρίτον, ἐπεί τις ἤρξατο τῶν κατελημυθότων
μνησικακεῖν, ἀπαγαγὼν τοῦτον ἐπὶ τὴν βουλὴν καὶ πείσας ἄκριτον
ἀποκτεῖναι, λέγων ὅτι νῦν δείξουσιν εἰ βούλονται τὴν δημοκρατίαν
σώζειν καὶ τοῖς ὅρκοις ἐμμένειν· ἀφέντας μὲν γὰρ τοῦτον προτρέψειν

---

[135]) Ka. 197—198. αὐτόχειρ S. (Bl.).

мистирій. Дѣлать взносы въ союзную кассу изъ доходовъ должны они также, и какъ прочіе аѳиняне. Если кто изъ выселяющихся пожелаетъ занять домъ въ Елевсинѣ, онъ долженъ войти въ соглашеніе со владѣльцемъ: если они не сойдутся, то покупатель и продавецъ выбираютъ по три оцѣнщика и, какую они цѣну назначатъ, та берется. Изъ елевсинцевъ могутъ жить у купившаго домъ лишь тѣ, кому онъ позволитъ. Заявленія поступаютъ отъ желающихъ переселиться горожанъ въ теченіи десяти дней со времени принесенія клятвы, выселяться же они могутъ въ теченіи двадцати дней. Для находящихся въ отлучкѣ дѣйствительны тѣ же сроки, считая со времени ихъ прибытія. Ни на одну изъ городскихъ должностей не имѣетъ права поселившійся въ Елевсинѣ прежде, чѣмъ онъ не заявитъ, что снова желаетъ поселиться въ городѣ. Уголовные процессы изъ-за убійствъ должны вестись по примѣру предковъ, буде кто собственноручно убьетъ кого, либо ранитъ. Прошлыхъ обидъ никто ни кому не долженъ поминать исключая тридцати, десяти, одиннадцати и правителямъ Пирэя, да и тѣмъ лишь пока они не представили отчета. Отчетъ же будутъ представлять правители Пирэя въ Пирэѣ, городскія же власти передъ судьями изъ достаточныхъ классовъ. Потомъ уже они могутъ выселиться вышеупомянутымъ порядкомъ, если пожелаютъ. Взятыя въ долгъ для веденія войны деньги обѣ стороны должны уплатить отдѣльно».

XL. По заключеніи такого рода соглашенія, тѣ, кто помогали тридцати въ войнѣ, боялись за себя и многіе предполагали выселиться, но откладывали заявленія до послѣднихъ дней срока, какъ вообще поступаютъ люди. Архинъ замѣтилъ, что ихъ много, и, пожелавъ удержать ихъ, отмѣнилъ послѣдніе дни срока для заявленій, такъ что многіе принуждены были остаться противъ воли до тѣхъ поръ, пока не оправились отъ страха. Это было, кажется, прекрасною правительственною мѣрою Архина, равно какъ и то, что онъ обвинилъ въ противозаконности предложеніе Ѳрасивула, которымъ тотъ хотѣлъ дать гражданскія права всѣмъ вышедшимъ въ городъ изъ Пирэя, въ томъ числѣ явнымъ рабамъ, а въ третьихъ и то еще, что, когда одинъ изъ вернувшихся началъ поминать прошлыя обиды, онъ отвелъ его передъ совѣтъ и уговорилъ казнить безъ суда; онъ говорилъ, что теперь они покажутъ, дѣйствительно-ли они желаютъ спасти димократію и сдержать клятвы: вѣдь, если они этого оставятъ безъ наказанія, они поощрятъ и остальныхъ, если

καὶ τοὺς ἄλλους, ἐὰν δ' ἀνέλωσιν παράδειγμα ποιήσειν ἅπασιν. ὅπερ καὶ συνέπεσεν· ἀποθανόντος γὰρ οὐδεὶς πώποτε ὕστερον ἐμνησι-
3 κάκησεν. ἀλλὰ δοκοῦσιν κάλλιστα δὴ καὶ πολιτικώτατα ἁπάντων καὶ ἰδίᾳ καὶ κοινῇ χρήσασθαι ταῖς προγεγενημέναις συμφοραῖς. οὐ γὰρ μόνον τὰς περὶ τῶν προτέρων αἰτίας ἐξήλειψαν, ἀλλὰ καὶ τὰ χρήματα Λακεδαιμονίοις, ἃ οἱ τριάκοντα πρὸς τὸν πόλεμον ἔλαβον, ἀπέδοσαν κοινῇ, κελευουσῶν τῶν συνθηκῶν ἑκατέρους ἀποδιδόναι χωρίς, τούς τ' ἐκ τοῦ ἄστεως καὶ τοὺς ἐκ τοῦ Πειραιέως, ἡγούμενοι τοῦτο πρῶτον ἄρχειν δεῖν τῆς ὁμονοίας· ἐν δὲ ταῖς ἄλλαις πόλεσιν οὐχ οἷον ἔτι [136]) προστιθέασιν τῶν οἰκείων οἱ δῆμοι κρατήσαντες, ἀλλὰ καὶ
pag τὴν ‖ χώραν ἀνάδαστον ποιοῦσιν. διελύθησαν δὲ καὶ πρὸς τοὺς ἐν [137])
XX. 4 Ἐλευσῖνι [κατοι]κήσαντας ἔτει τρίτῳ μετὰ τὴν ἐξοίκησιν, ἐπὶ Ξ[εναι]νέτου ἄρχοντος.

XLI. ταῦτα μὲν οὖν ἐν τοῖς ὕστε[ρο]ν συνέβη γενέσθαι καιροῖς, τότε δὲ κύριος ὁ δῆμος γενόμενος τῶν πραγμάτων, ἐνεστήσατο τὴν [νῦν] οὖσαν πολιτείαν, ἐπὶ Πυθοδώρου μὲν ἄρχοντος [138]). — — [δ]οκοῦντος δὲ δικαίως τοῦ δήμου λαβεῖν τὴν π[ο]λιτ[εί]αν [139]) διὰ τὸ
2 ποιήσασθαι τὴν κάθοδον δι' αὐτοῦ [[τὸν δῆμον]]. ἦν δὲ τῶν μεταβολῶν ἐνδεκάτη τὸ[ν ἀρι]θμὸν αὕτη. πρώτη μὲν γὰρ ἐγένετο [κ]ατάστασις τῶν ἐξ ἀρχῆς [140]) Ἴωνος καὶ τῶν μετ' αὐτοῦ συνοικησάντων· τότε γὰρ πρῶτον εἰς τὰς τέτταρας συνενεμήθησαν φυλὰς καὶ τοὺς φυλοβασιλέας [141]) κατέστησαν. δευτέρα δὲ καὶ πρώτη μετὰ ταῦτη[ν] ἔχουσα πολιτείας τάξιν ἡ ἐπὶ Θησέως γενομένη, μικρὸν παρεγκλίνουσα τῆς βασιλικῆς. μετὰ δὲ ταύτην ἡ ἐπὶ Δράκοντος, ἐν ᾗ καὶ νόμους ἀνέγραψαν πρῶτον. τρίτη δ' ἡ μετὰ τὴν στάσιν, ἡ ἐπὶ Σόλωνος, ἀφ' ἧς ἀρχὴ δημοκρατίας ἐγένετο. τετάρτη δ' ἡ ἐπί Πεισιστράτου τυραννίς. πέμπτη δ' ἡ μετὰ <τὴν> τῶν τυράννων κατάλυσιν, ἡ Κλεισθένους, δημοτικωτέρα τῆς Σόλωνος. ἕκτη δ' ἡ μετὰ τὰ Μηδικά,

---

[136]) Bl. Ka. 200. οὐχ ὅτι S.

[137]) [[ἐν]] S.

[138]) Lacunam indicat Ka. 201, quam sic explendam putat: <τοὺς πρώτους δύο μῆνας, τοὺς δ' ἐπιλοίπους δέκα Εὐκλείδου μετὰ τὴν τῶν φυγάδων κάθοδον καταστάντος εἰς ἀρχήν (διὸ καὶ ἀπὸ τούτου καλοῦσι τὸν ἐνιαυτόν, Πυθοδώρου δ' ὄνομα οὐδ' ἀναγράφουσιν)>.

[139]) Bl [ἐξουσί]αν S. Cf Ka. 201.

[140]) [ἡ] τῶν ἐξ ἀρχῆς vult Ka. 202, n. 1.

[141]) φυλοβασιλεῖς S.

же казнятъ его, то будетъ примѣръ для всѣхъ. Такъ и случилось: послѣ казни этого человѣка никто уже больше, не поминалъ обидъ. Напротивъ и въ нравственномъ и государственномъ отношеніи какъ частнымъ лицамъ, такъ и всей общинѣ, кажется, предшествовавшія невзгоды принесли полезный урокъ. Не только вычеркнули они всѣ обвиненія касательно прошлаго, но даже сообща отдали лакедэмонянамъ тѣ деньги, которыя тридцать заняли для войны, хотя условія примиренія и гласили такъ, что обѣ стороны, какъ городская, такъ и пирэйская будутъ платить долги отдѣльно. Они были убѣждены, что поступая такъ, они дѣлаютъ первый шагъ къ полному единенію. Въ другихъ же городахъ димократы, если одерживаютъ верхъ, не говоря уже о томъ, что не жертвуютъ ничего изъ своихъ средствъ для общины, стараются еще подѣлить между собою всю землю. Примирились же аѳиняне съ тѣми, что поселились въ Елевсинѣ, на третій годъ послѣ ихъ выселенія при архонтѣ Ксенэнетѣ.

XLI. Это впрочемъ произошло въ болѣе позднее время; тогда же народъ, получивъ власть въ свои руки, ввелъ нынѣшнее государственное устройство, при архонтъ Пиоодорѣ *) — —, причемъ народъ, какъ кажется, по справедливости принялъ государственное управленіе, такъ какъ возвращеніе его состоялось его собственными силами. Былъ же этотъ переворотъ по счету одиннадцатымъ. Первый государственный порядокъ изъ начальныхъ былъ введенъ Іономъ и тѣми, что вмѣстѣ съ нимъ основали общее поселеніе; тогда впервые населеніе подѣлено было на четыре филы и поставлены были цари филъ. Вторымъ, притомъ первымъ изъ имѣющихъ строй дѣйствительнаго государства, былъ тотъ, который имѣлъ мѣсто при Ѳисеѣ, немного отступающій отъ монархическаго. Затѣмъ слѣдуетъ строй Драконта, когда впервые записаны были законы. Третьимъ былъ строй послѣ смутъ, при Солонѣ, отъ котораго ведетъ свое начало димократія. Четвертымъ — была тираннія Писистрата Пятымъ строй послѣ свержения тирановъ, при Клисоенѣ, болѣе димократическій, чѣмъ при Солонѣ. Шестой — послѣ мидійскихъ войнъ,

*) Пропущено, можетъ быть, приблизительно: <въ теченіе первыхъ двухъ мѣсяцевъ, въ остальные же десять — Евклидѣ, поставленномъ архонтомъ по возвращеніи изгнанниковъ, (поэтому то по нему называютъ они годъ, а имени Пиѳодора не обозначаютъ).>

τῆς ἐξ Ἀρείου πάγου βουλῆς ἐπιστατούσης. ἑβδόμη δ' ἡ μετὰ ταύτην, ἣν Ἀριστείδης μὲν ὑπέδειξεν, Ἐφιάλτης δ' ἐπετέλεσεν καταλύσας τὴν Ἀρεοπαγῖτιν βουλήν· ἐν ᾗ πλεῖστα συνέβη τὴν πόλιν διὰ τοὺς δημαγωγοὺς ἁμαρτάνειν [142]) — — διὰ τὴν τῆς θαλάττης ἀρχήν. ὀγδόη δ' [ἡ] τῶν τετρακοσίων κατάστασις, καὶ μετὰ ταύτην ἐνάτη [[δὲ]] δημοκρατία πάλιν. δεκάτη δ' ἡ τῶν τριάκοντα καὶ ἡ τῶν δέκα τυραννίς. ἑνδεκάτη δ' ἡ μετὰ τὴν ἀπὸ Φυλῆς καὶ ἐκ Πειραιέως κάθοδον, ἀφ' ἧς διαγεγένηται μέχρι τῆς νῦν, ἀεὶ προσεπιλαμβάνουσα τῷ πλήθει τὴν ἐξουσίαν [143]). ἁπάντων γὰρ αὐτὸς αὑτὸν πεποίηκεν ὁ δῆμος κύριον, καὶ πάντα διοικεῖται ψηφίσμασιν καὶ δικαστηρίοις, ἐν οἷς ὁ δῆμός ἐστιν ὁ κρατῶν. καὶ γὰρ α[ἱ τ]ῆς βουλῆς κρίσεις εἰς τὸν δῆμον ἐληλύθασιν. καὶ τοῦτο δοκοῦσι ποιεῖν ὀρθῶς· εὐδιαφθορώτεροι γὰρ <οἱ> ὀλίγοι τῶν πολλῶν εἰσιν κ[αὶ] κέρδει κ[αὶ] χάρισιν. μισθοφόρον δ' ἐκκλησίαν τὸ μὲν πρῶτον ἀπέγνωσαν ποιεῖν· οὐ συλλεγομένων δ' εἰς τὴν ἐκκλησίαν, ἀλλὰ πολλὰ σοφιζομένων τῶν
pag. πρυτάνεων, ὅπως προσιστῆται τὸ πλῆθος πρὸς τὴν ἐπι ‖ κύρωσιν τῆς
XXI. χειροτονίας, πρῶτον μὲν Ἀγύρριος ὀβολὸν ἐπόρισεν, μετὰ δὲ τοῦτον Ἡρακλείδης ὁ Κλαζομένιος ὁ βασιλεὺς ἐπικαλούμενος διώβολον, πάλιν δ' Ἀγύρριος τριώβολον.

XLII. ἔχει δ' ἡ νῦν κατάστασις τῆς πολιτείας τόνδε τὸν τρόπον. μετέχουσιν μὲν τῆς πολιτείας οἱ ἐξ ἀμφοτέρων γεγονότες ἀστῶν, ἐγγράφον[ται] δ' εἰς τοὺς δημότας ὀκτωκαίδεκα ἔτη γεγονότες. ὅταν δ' ἐγγράφωνται, διαψηφίζονται περὶ αὐτῶν ὀμόσαντες οἱ δημόται, πρῶτον μὲν εἰ δοκοῦσι γεγονέναι τὴν ἡλικίαν τὴν ἐκ τοῦ νόμου, κἂν μὴ δόξωσι, ἀπέρχονται πάλιν εἰς παῖδα[ς, δ]εύτερον δ' εἰ ἐλεύθερός ἐστι καὶ γέγονε κατὰ [το]ὺς νόμους. ἔπειτ' ἂν μὲν ἀποψηφίσωνται μὴ εἶναι ἐλεύθερον, ὃ μὲν ἐφίησιν εἰς τὸ δικαστήριον, οἱ δὲ δημόται κατηγόρους αἱροῦνται πέντε [ἄν]δρας ἐξ αὐτῶν, κἂν μὲν μὴ δόξῃ δι[καί]ως ἐγγράφ[εσ]θαι, πωλεῖ τοῦτον ἡ πόλις· ἐὰν δὲ
2 νικήσῃ, τοῖς [δη]μόταις ἐπάναγκες ἐγγράφειν. μετὰ δὲ ταῦτα δοκιμάζει τοὺς ἐγγραφέντας ἡ βουλή, κἄν τις δόξ[ῃ ν]εώτερος ὀκτωκαίδεκα ἐτῶν εἶναι, ζημιοῖ [τοὺ]ς δημότας τοὺς ἐγγράψαντας. ἐπὰν δὲ δοκιμα[σθ]ῶσιν οἱ ἔφηβοι, συλλεγέντες οἱ πατέρες αὐτῶν κατὰ φυλὰς

---

[142]) Ka. 203 lacunam indicat eamque explet <θαρρήσασαν> διὰ τὴν κτέ.
[143]) Ka. 203 – 4 locum putat esse corruptum.

когда во главѣ государства стоялъ совѣтъ Ареопага. Седьмой слѣдующій, къ которому путь проложилъ Аристидъ, и который Ефіальтъ закончилъ, устранивъ совѣтъ Ареопага; въ это время городъ во многомъ погрѣшилъ подъ вліяніемъ димагоговъ *) вслѣдствіе владычества надъ моремъ. Восьмой — управленіе четырехсотъ, и затѣмъ девятый — снова димократія. Десятый—тираннія тридцати и десяти. Одиннадцатый—наступившій послѣ возвращенія изгнанниковъ изъ Филы и Пирэя, который остался въ силѣ до нашего времени, постоянно доставляя все новыя преимущества димократіи. Она сдѣлала себя владыкою всего, и всѣмъ она руководитъ при помощи народныхъ постановленій, а также и судовъ, въ которыхъ народъ значитъ все. Даже тѣ судебныя дѣла, которыя рѣшалъ совѣтъ, перешли къ народу. И кажется это хорошо сдѣлано: небольшое количество людей гораздо легче поддается соблазну корысти или лести. Сначала они рѣшили было не назначать жалованья народному собранію. Такъ какъ однако народъ не приходилъ на собранія и пританы не знали, что выдумать, чтобы онъ собирался для отдачи голосовъ, впервые Агиррій ввелъ жалованье въ оволъ, затѣмъ Ираклидъ Клазоменскій, прозванный «царемъ»,—въ два овола, потомъ опять Агиррій—три овола.

XLII. *Нынѣшній государственный строй* представляется слѣдующимъ. Имѣютъ гражданскія права тѣ, чьи и отецъ и мать граждане, записываются же они въ число димотовъ по достиженіи осьмнадцати лѣтъ отъ роду. При записи димоты, присягнувъ, рѣшаютъ относительно ихъ голосованіемъ, во первыхъ имѣютъ ли они требующійся по закону возрастъ; если это рѣшатъ отрицательно, они снова отчисляются къ несовершеннолѣтнимъ;—во вторыхъ, свободные ли они люди и происхожденіе ихъ соотвѣтствуетъ-ли законамъ. Затѣмъ, если ихъ голосованіе рѣшитъ, что кто-нибудь не свободенъ, онъ можетъ обратиться въ народный судъ, димоты же выбираютъ изъ своего числа пять обвинителей, и, если судъ рѣшитъ, что его запись въ гражданскій списокъ была бы незаконна, городъ продаетъ его въ рабство; если же заподозренный одержитъ верхъ въ процессѣ, то димоты обязаны вписать его. Затѣмъ совѣтъ подвергаетъ испытанію записанныхъ, и, если кто окажется моложе девятнадцати лѣтъ, совѣтъ подвергаетъ штрафу сдѣлавшихъ запись димотовъ. Послѣ докимасіи ефивовъ, отцы ихъ соби-

*) Пропущено, можетъ быть: <увѣрившись съ своихъ силахъ.>

ὀμόσαντες αἱροῦνται τρεῖς ἐκ τῶν φυλετῶν τῶν ὑπὲρ τετταράκοντα ἔτη γεγονότων, οὓς ἂν ἡγῶνται βελτίστους εἶναι καὶ ἐπιτηδειοτάτους ἐπιμελεῖσθαι τῶν ἐφήβων, ἐκ δὲ τούτων ὁ δῆμος ἕνα τῆ[ς φ]υλῆς ἑκάστης χειροτονεῖ σωφρονιστὴν καὶ [κοσ]μητὴν ἐκ τῶν ἄλλων Ἀθη-
3 ναίων ἐπὶ πάντας. συλλαβόντες δ' οὗτοι τοὺς ἐφήβους, πρῶτον μὲν τὰ ἱερὰ περιῆλθον, εἶτ' εἰς Πειραιέα πορεύονται, καὶ φρουροῦσιν οἱ μὲν τὴν Μουνιχίαν οἱ δὲ τὴν Ἀκτήν. χειρο[τονεῖ] δὲ καὶ παιδοτρίβας αὐτοῖς δύο καὶ διδασκάλους τ[έτ]τ[α]ρας, [οἵ]τινες ὁπλομαχεῖν καὶ τοξεύειν καὶ ἀκοντίζειν κ[αὶ] καταπέλτην [144]) ἀφιέναι διδάσκουσιν. δίδωσι δὲ καὶ εἰς τρο[φὴ]ν τοῖς μὲν σωφρονισταῖς δραχμὴν α' [145]) ἑκάστῳ, τοῖς δ' ἐφήβοις τέτταρας ὀβολοὺς ἑκάστῳ· τὰ δὲ τῶν φυλετῶν τῶν αὐτοῦ λαμβάνων ὁ σωφρονιστὴς ἕκαστος ἀγοράζει τὰ ἐπιτήδεια πᾶσιν εἰς τὸ κοινὸν (συσσιτοῦσι γὰρ κατὰ φυλάς), καὶ τῶν ἄλλων
4 ἐπιμελεῖται πάντων. καὶ τὸν μὲν πρῶτον ἐνιαυτὸν οὕτως διάγουσι· τὸν δὲ δεύτερον ἐκκλησίας ἐν τῷ θεάτρῳ γενομένης ἀποδειξάμενοι τῷ
pag. δήμῳ ‖ τὰ περὶ τὰς τάξεις καὶ λαβόντες ἀσπίδα καὶ δόρυ παρὰ τῆς
XXII. πόλεως περιπολοῦσι τὴν χώραν καὶ διατρίβουσιν ἐν τοῖς φυλακτηρίοις.
5 φρουροῦσι δὲ τὰ δύο ἔτη, χλαμύδας ἔχοντες, καὶ ἀτελεῖς εἰσὶ πάντων. καὶ δί[κη]ν οὔτ[ε] διδόασιν οὔτε λαμβάνουσιν, ἵνα μὴ π[ρ]ό[φ]ασις ᾖ τ[ο]ῦ ἀπιέναι, πλὴν περὶ κλήρου καὶ ἐπικλή[ρου], κἄν τινι κατὰ γένος ἱερεωσύνη γένηται. διεξελθόντων δὲ τῶν δυεῖν ἐτῶν, ἤδη μετὰ τῶν ἄλλων εἰσίν. τὰ μὲν οὖν περὶ τὴν τῶν πολιτῶν ἐγγραφὴν καὶ τοὺς ἐφήβους τοῦτον ἔχει τὸν τρόπον.

XLIII. τὰς δ' ἀρχὰς τὰς περὶ τὴν ἐγκύκλι[ον] διοίκησιν ἁπάσας ποιοῦσι [146]) κληρωτὰς πλὴν ταμίου στρατιωτικῶν καὶ τῶν ἐπὶ τὸ θεωρικὸν καὶ τοῦ τῶν κρηνῶν [147]) ἐπιμελητοῦ. ταύτας δὲ χειροτονοῦσιν, καὶ οἱ χειροτονηθέντες ἄρχουσιν ἐκ Παναθηναίων εἰς Παναθήναια. χειροτονοῦσι δὲ καὶ τὰς πρὸς τὸν πόλεμον ἁπάσας.

---

[144]) καταπάλτην S
[145]) μίαν S.
[146]) In vernaculum verti sermonem secutus Ka. 205.
[147]) Headlam vult κοινῶν (H.-L.).

